ρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας
ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχον-
τες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν
Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Βασιλεῦ
τῶν βασιλευόντων καὶ Κύριε τῶν κυριευ-
όντων, τὴν βασιλείαν τοῦ δούλου σου τοῦ
ὀρθοδόξου καὶ φιλοχρίστου ἡμῶν βασιλέως,
fol. 51 ὃν ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς, ἐν
(2) εἰρήνῃ καὶ ἀνδρείᾳ καὶ δικαιοσύνῃ διαφύ-
λαξον. καθυπόταξον αὐτῷ, ὁ Θεός, πάντα
ἐχθρὸν καὶ πολέμιον, ἐνφύλιόν τε καὶ ἀλ-
λόφυλον· ἐπιλαβοῦ ὅπλου καὶ θυραίου, καὶ
ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτοῦ· καὶ ἔκχεον
(3) ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν
καταδιωκόντων αὐτόν· ἐπισκίασον ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ ἐν ἡμέρᾳ πολέμου· κάθισον
(4) ἐκ τῆς ὀσφύος αὐτοῦ ἐπὶ τὸν θρόνον αὐτοῦ.
λάλησον εἰς τὴν καρδίαν αὐτοῦ ἀγαθὰ ὑπὲρ
τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς
ἐκκλησίας καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ,
ἵνα καὶ ἡμεῖς ἐν τῇ γαληνότητι αὐτοῦ ἤρε-

(1) D. omitted τὸν ξένον καὶ.

(2) D. omitted διαφύλαξον. καθυπόταξον αὐτῷ, and thus occasioned confusion.

(3) MS. σύγκλισον.

(4) D. again omitted ἐπὶ τὸν θρόνον αὐτοῦ. λάλησον εἰς τὴν καρδίαν αὐτοῦ with the same result.

ROTULUS VATICANUS.

Εὐχήν.

Διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, διὰ
τὴν χήραν καὶ τὸν ὀρφανόν, διὰ τὸν ξένον
καὶ τὸν προσήλυτον, δι' ἡμᾶς πάντας τοὺς
ἐλπίζοντας καὶ ἐπικαλουμένους τὸ ὄνομά
σου τὸ ἅγιον. οἱ γὰρ ὀφθαλμοὶ πάντων
εἰς σε ἐλπίζουσιν, καὶ σὺ δίδως τὴν τροφὴν
αὐτῶν ἐν εὐκαιρίᾳ. ὁ διδοὺς τροφὴν πάσῃ
σαρκί, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς
καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρ- p. 25
κειαν σχόντες περισσεύωμεν εἰς πᾶν ἔργον
ἀγαθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ὁ *ἱερεὺς ἐκφών.* Τὴν βασιλείαν τοῦ δού-
λου σου (a)

{Ὁ *λαός.* Δόξα τῷ βασιλεῖ.} τοῦ εὐσε- (b)
βεστάτου ἡμῶν βασιλέως, ὃν ἐδικαίωσας
βασιλεύειν ἐπὶ τῆς γῆς, ἐν εἰρήνῃ καὶ ἀνδρίᾳ
καὶ γαληνότητι διαφύλαξον. καθυπόταξον (c)
αὐτῷ, ὁ Θεός, πάντα ἐχθρὸν καὶ πολέμιον,
ἐμφύλιόν τε καὶ ἀλλόφυλον· ἐπιλαβοῦ ὅπ- (d)
λου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοή-
θειαν αὐτοῦ· ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον
ἐξ ἐναντίας τῶν διωκόντων αὐτόν· ἐπισκίασον
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐν ἡμέρᾳ πολέμου·
κάθισον ἐκ τῆς ὀσφύος αὐτοῦ ἐπὶ τὸν θρόνον
αὐτοῦ· λάλησον εἰς τὴν καρδίαν αὐτοῦ
ἀγαθὰ ὑπὲρ τῆς ἁγίας μόνης καθολικῆς καὶ (e)
ἀποστολικῆς ἐκκλησίας καὶ παντὸς τοῦ φιλο- p. 26
χρίστου λαοῦ, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαληνότητι

(a) Arabic note: "raising of voice."

(b) Added in the margin.

(c) MS. γαλῆν | ὁ τάτην ἐκη διάφύλαξον.

(d) MS. ἐμφυλιῶν τε καὶ ἀλλ | οφυλὸν.

(e) The reader must here have gone to the verso of the MS.

CANON UNIVERSALIS ÆTHIOPUM. LITURGIA COPTIT. SANCTI CYRILLI.

Domine miserere. Infirmos populi tui sana. p. 40

Diaconus. Orate pro patribus et fratribus nostris.

Sacerdos. Visita eos in misericordia. *Et perficitur ex oratione incensi diluculo diei.*

Patres fratresque nostros peregre profectos.

Diaconus. Orate pro patribus fratribusque nostris peregre profectis.

Sacerdos. Et pro illis qui designaverunt ad quemcumque locum proficisci, etc. *Perficitur ex eadem oratione incensi.*

Serenum et salubrem praesta, Domine, aërem caeli, et fructibus terrae benedic. p. 41

Diaconus. Orate pro aëre caeli et fructibus.

Sacerdos. Fac ut crescant juxta virtutem suam, etc. *ut in Missa Basilii.*

Domine, miserere Regis terrae, famuli tui.

Diaconus. Orate ut Christus Deus noster, etc.

Sacerdos. Conserva illum in pace et justitia et potentia, ut subjiciantur illi omnes barbari, et gentes quae bella volunt: da nobis bonorum affluentiam: loquere ad cor ejus pro pace unicae tuae Catholicae et Apostolicae Ecclesiae: fac ut cogitet ea quae pacis sunt erga nos et erga nomen tuum sanctum, ut vitam tranquillam et placidam ducamus, atque

CODEX ROSSANENSIS.

μον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ
(1) εὐσεβείᾳ καὶ σεμνότητι τῇ εἴς σε καταληφθῶμεν. τῶν ἐν πίστει Χριστοῦ προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν τὰς ψυχὰς ἀνάπαυσον, Κύριε ὁ Θεὸς ἡμῶν,

fol. 51 b μνησθεὶς τῶν ἀπ' αἰῶνος προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, ὁσίων, δικαίων, παντὸς πνεύματος ἐν πίστει Χριστοῦ τετελειωμένων· καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα, καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ, τοῦ ὑποδείξαντος ἡμῖν ὁδὸν σωτηρίας.

Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετά σου· εὐλογημένη σὺ ἐν γυναιξίν, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι ἔτεκες σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ διάκονος. Κύριε, εὐλόγησον.

Ὁ ἱερεύς. Ὁ Κύριος εὐλογήσει σε τῇ αὐτοῦ χάριτι, νῦν καὶ ἀεί, καὶ εἰς.

Ὁ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων. Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Καὶ τούτων πάντων τὰς ψυχὰς ἀνάπαυσον,
fol. 52 Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σου σκηναῖς, ἐν τῇ βασιλείᾳ σου,

(1) MS. *τῆς εἰς σε καταλίφθωμεν.* D. omitted the words. (See above, p. 6.)

ROTULUS VATICANUS.

αὐτοῦ ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι τῇ εἴς σε καταληφθῶμεν. (a)

Ὁ ἱερεύς. Τῶν ἐν πίστει Χριστοῦ

{*Ὁ λαός.* Τὰς ψυχὰς ἀνάπαυσον.} (b)

προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν τὰς ψυχὰς ἀνάπαυσον, Κύριε ὁ Θεὸς ἡμῶν.

Μνήσθητι, Κύριε, τῶν ἁγίων ἀπ' αἰῶνος προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ἐπισκόπων, ὁσίων, δικαίων, παντὸς πνεύματος ἐν πίστει τετελειωμένων· καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα· καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ, τοῦ ὑποδείξαντος ἡμῖν ὁδὸν σωτηρίας.

Μνήσθητι, Κύριε, τῆς ἀρχαγγελικῆς φωνῆς ἐπιλεγούσης, p. 27

Ὁ ἱερεύς. Χαῖρε κεχαριτωμένη, Μαρία, ὁ Κύριος μετά σου· εὐλογημένη σὺ ἐν γυναιξίν, καὶ εὐλογημένος ὁ καρπός.

Ὁ ἱερεὺς ἐκφών. Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν.

Κύριε, εὐλόγησον. (c)

Ὁ ἱερεύς. Ἡ χάρις τοῦ παναγίου Πνεύματος μετὰ πάντων ἡμῶν, ἀδελφοί. Ἀμήν.

Ὁ διάκονος τὰ δίπτυχα.

Ὁ ἱερεὺς εὐχ.

Καὶ τούτων καὶ πάντων τὰς ψυχὰς ἀνάπαυσον, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σκηναῖς, ἐν τῇ βασιλείᾳ

(a) MS. *τῇ εἰσσαὶ κατὰ | λήφθομεν.*

(b) Added in the margin.

(c) The MS. *seems* to have *ὁ ἱερεύς*, or *οἱ......* Then an Arabic note, "The priest blesses."

CANON UNIVERSALIS ÆTHIOPUM.

LITURGIA COPTIT. SANCTI CYRILLI.

in omni pietate et honestate confirmati inveniamur apud te.

Domine miserere. Patribus, fratribusque nostris, qui obdormierunt et quorum animas suscepisti, quietem praesta. Memento etiam omnium sanctorum qui a saeculo tibi placuerunt, Patrum nostrorum sanctorum, Patriarcharum, Prophetarum, Apostolorum, Evangelistarum, Martyrum, Confessorum, Praedicatorum, et omnium spirituum justorum qui in fide perfecti fuerunt, praecipue autem sanctae gloriosissimae, Deiparae, semper Virginis, purae et illibatae sanctae Mariae, etc. (*ex Missa Basilii*), et omnis chori sanctorum tuorum. (1)

Sacerdos. (*Tono Jobi*) Et nos, Domine, digni non sumus qui pro beatis illis supplicemus: sed quoniam illi stant coram solio Filii tui unigeniti, ipsi intercedant loco nostro pro paupertate et infirmitate nostra. Dimitte iniquitates nostras, propter deprecationes eorum et propter Nomen tuum benedictum quod invocatum est super nos.

Diaconus. Orate pro patribus, etc.

Sacerdos. Memento, Domine, Patrum nostrorum Orthodoxorum Archiepiscoporum, quorum obitus praecessit, eorum qui verbum veritatis recte dispensaverunt, et da nobis partem et haereditatem cum eis. Rursus eorum memento quorum hodie memoriam facimus.

Sacerdos post Diptycha. Et illorum

(1) This seems again to refer to the Greek S. Basil, but compare the Greek of S. Mark.

CODEX ROSSANENSIS.

χαριζόμενος αὐτοῖς τὰ τῶν ἐπαγγελιῶν σου ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπων οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσι τὸ ὄνομά σου τὸ ἅγιον. αὐτῶν μὲν τὰς ψυχὰς ἀνάπαυσον, καὶ βασιλείας οὐρανῶν καταξίωσον· ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα δώρησαι· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων σου. τῶν προσφερόντων τὰς θυσίας, τὰς προσφοράς, τὰ εὐχαριστήρια πρόσδεξαι ὁ Θεὸς εἰς τὸ ἅγιον καὶ ἐπουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς τὰ μεγέθη τῶν οὐρανῶν, διὰ τῆς ἀρχαγγελικῆς σου λειτουργίας, τῶν τὸ πολὺ καὶ ὀλίγον, κρύφα καὶ παῤῥησίᾳ, βουλομένων καὶ οὐκ ἐχόντων· καὶ τῶν ἐν τῇ
fol. 82 b σήμερον ἡμέρᾳ τὰς προσφορὰς προσενεγκάντων, ὡς προσεδέξω τὰ δῶρα τοῦ δικαίου σου Ἄβελ,

καὶ βάλλει θυμίαμα ὁ ἱερεὺς καὶ λέγει,

τὴν θυσίαν τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, Ζαχαρίου τὸ θυμίαμα, Κορνηλίου τὰς ἐλεημοσύνας, καὶ τῆς χήρας τὰ δύο λεπτά, πρόσδεξαι καὶ αὐτῶν τὰ εὐχαριστήρια, καὶ
(1) ἀντιδὸς αὐτοῖς ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια. τὸν ἁγιώτατον καὶ μακαριώτατον Πάπαν τὸν Δ. ὃν
(2) προέγνως καὶ προχειρίσασθαι τὴν ἁγίαν σου

(1) D. omitted ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα.

(2) There is a mark (a cross) opposite to this in the manuscript.

ROTULUS VATICANUS.

σου, χαριζόμενος αὐτοῖς τὰ τῶν ἐπαγγελιῶν σου ἀνεκλάλητα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσι τὸ ὄνομά σου τὸ ἅγιον. αὐτῶν μὲν τὰς ψυχὰς ἀνάπαυσον, Κύριε, καὶ βασιλείας οὐρανῶν καταξίωσον· ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα δώρησαι· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων σου. τῶν προσφερόντων τὰς θυσίας, τὰς προσφοράς, τὰ εὐχαριστήρια πρόσδεξαι ὁ Θεὸς εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς τὰ μεγέθη τῶν οὐρανῶν, διὰ τῆς ἀρχαγγελικῆς σου λειτουργίας, τῶν τὸ πολὺ καὶ τὸ ὀλίγον, κρύφα καὶ παῤῥησίᾳ, βουλομένων καὶ οὐκ ἐχόντων· καὶ τῶν ἐν τῇ σήμερον ἡμέρᾳ τὰς προσφορὰς προσενεγκάντων, ὡς προσεδέξω τὰ δῶρα τοῦ δικαίου Ἄβελ, τὴν θυσίαν τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, Ζαχαρίου τὸ θυμίαμα, Κορνηλίου τὰς προσευχὰς καὶ ἐλεημοσύνας, καὶ τῆς χήρας τὰ δύο λεπτά, πρόσδεξαι καὶ αὐτῶν τὰ εὐχαριστήρια, καὶ ἀντιδὸς αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τῶν ὁσίων πατέρων ἡμῶν τοῦ Δ. τοῦ πατριάρχου, καὶ τοῦ Δ. ἀρχιεπισκόπου, οὓς χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σώους, ἐντίμους, ὑγιεῖς, μακ.

(a) MS. κατα των επαγγελιων σου.

(b) An Arabic interlineation: "incenses."

LITURGIA COPTIT. SANCTI CYRILLI.

omniumque, Domine, quorum nomina recitamus et quorum non recitamus: quos unusquisque nostrum in mente habet, et eorum quorum memoria non occurrit nobis, qui dormierunt et quieverunt in fide Christi. Dignare, Domine, praestare, ut requiescant animae illorum omnes in sinu patrum nostrorum sanctorum Abraham, Isaac et Jacob, etc.

p. 43 Domine miserere.

Sacerdos. Sacrificia oblationesque in gratiarum actionem, eorum qui offerunt laudem et gloriam nomini tuo sancto,

(*Diaconus.* Orate pro illis qui de suo sacrificia et oblationes fecerunt.)

Sacerdos. suscipe ea super altare tuum spirituale, caeleste, cum odore thuris, ad majestatem tuam caelestem, per ministerium Angelorum et Archangelorum tuorum sanctorum, sicut ad te suscepisti munera justi Abel, et sacrificium patris nostri Abrahami, et minuta duo viduae. Ita quoque vota servorum tuorum accepta habe, sive multum sive parum sit, secreto aut manifeste: et illis qui voluerunt offerre nec unde facerent habuerunt, ut etiam illis qui hodie haec tibi munera obtulerunt, da incorruptibilia pro corruptibilibus, caelestia pro terrenis, aeterna pro temporalibus; domos eorum et cellas penuarias reple bonis omnibus. Circumda eos, Domine, potestate Angelorum et Archangelorum tuorum sanctorum: et sicut

LITURGIA COPTIT. SANCTI CYRILLI.

memores fuerunt Nominis tui sancti super terram, memento illorum in regno tuo, et in hoc saeculo ne derelinquas eos.

Domine miserere.

Diaconus. Orate pro vita et incolumitate Patriarchae et Patris nostri venerabilis, Archiepiscopi Patris N., ut Christus Deus noster conservet vitam ejus ad multos annos ac temporibus tranquillis.

Sacerdos. Patriarcham nostrum venerabilem Patrem Anba N. custodiendo conserva nobis ad multos annos, et per tranquilla tempora, ut adimpleat perfecte officium sancti pontificatus qui illi a te collatus est, secundum voluntatem tuam sanctam et beatam, recte dispensans verbum veritatis et pascens populum tuum in sanctitate et justitia. Concede illi et nobis pacem et salutem ex quacumque parte: et preces ejus quas facit pro nobis et pro omni populo tuo, ut eas quae pro illo a nobis fiunt, suscipe ad te super altare tuum rationabile, caeleste, cum odore thuris. Inimicos quoque ejus omnes, visibiles et invisibiles, contere et dejice sub pedibus ejus velociter: illum quoque conserva in pace et justitia, in Ecclesia tua sancta.

Domine miserere.

Diaconus. Orate pro patribus nostris Episcopis ubicumque sint, ut Christus Deus noster conservet vitam eorum ad multos annos per tempora tranquilla, et parcat nobis.

CODEX ROSSANENSIS.

καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, καὶ τὸν ὁσιώτατον ἐπίσκοπον τὸν Δ. τὸν ἡμέτερον συντηρῶν, συντήρησον αὐτοὺς ἔτεσι πολλοῖς, χρόνοις εἰρηνικοῖς, ἐκτελοῦντας αὐτοὺς τὴν ὑπὸ σοῦ ἐμπεπιστευμένην ἁγίαν σου ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα ὀρθοτομοῦντας τὸν λόγον
fol. 53 *τῆς ἀληθείας. μνήσθητι δὲ καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, λαϊκῶν. μνήσθητι, Κύριε, τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης, καὶ τῆς πόλεως ἡμῶν ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.*

Μνήσθητι, Κύριε, πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων. μνήσθητι,
(1) *Κύριε, τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν· δὸς αὐτοῖς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. μνήσθητι, Κύριε, ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ τὰς ἁμαρτίας ἡμῶν ἐξάλειψον,*
fol. 53 b *ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός. μνήσθητι, Κύριε, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ*

(1) D. had *τῶν* for *ὄντων* and *ἐν ἐλέει καὶ οἰκτιρμοῖς εἶναι* for *εἰς οἰκτιρμούς*, and omitted the words before *καὶ ἡμῶν*.

ROTULUS VATICANUS.

Ὁ λαός. **Γένοιτο, Γένοιτο.**

Ὁ ἱερεὺς εὔχ. **Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως ἡμῶν τοῦ Δ. Πάπας καὶ πατριάρχου ὃν καὶ προέγνως καὶ προώρισας προχειρίσασθαι τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, συντηρῶν συντήρησον αὐτὸν ἔτεσιν πολλοῖς καὶ χρόνοις εἰρηνικοῖς, ἐκτελοῦντα τὴν ὑπὸ σοῦ ἐμπεπιστευμένην αὐτῷ ἁγίαν σου ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Μνήσθητι, Κύριε, καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, ὀρφανῶν, λαϊκῶν. μνήσθητι, Κύριε, πάσης ψυχῆς χριστιανῆς θλιβομένης. μνήσθητι, Κύριε, τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.**

Μνήσθητι, Κύριε, πάσης ψυχῆς χριστιανῆς θλιβομένης, ἐλέους Θεοῦ, βοηθείας ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν καὶ τῶν ἐν φυλακαῖς.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστιανῶν· καὶ τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις καὶ ἐπὶ ξέναις καὶ πικραῖς δουλείαις ὄντων ἀδελφῶν ἡμῶν· δὸς αὐτοῖς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. μνήσθητι, Κύριε, ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ ἡμῶν τῶν

(a) An Arabic note in the margin, "Prayers for individuals."

(b) Another Arabic note.

LITURGIA COPTIT. SANCTI CYRILLI.

Sacerdos. Memento, Domine, Episcoporum Orthodoxorum in quocumque loco sint: Sacerdotum, Diaconorum,
p. 43 Subdiaconorum, Lectorum, Cantorum, Exorcistarum, Monachorum, Virginum, Viduarum, Orphanorum, continentiam exercentium, et Laïcorum: illorum qui matrimonio juncti sunt, et illorum qui educant filios: qui dixerunt nobis Mementote nostri, et qui non dixerunt: quos novimus et quos non novimus: inimicorum et amicorum nostrorum: Domine, eorum miserere.

Domine miserere. Memento, Domine, reliquorum Orthodoxorum qui sunt ubicumque terrarum.

Diaconus. Orate pro reliquis Orthodoxis qui sunt ubicumque terrarum: ut Christus Deus noster sit illis propitius, et misereatur eorum, et parcat nobis.

Sacerdos. Domine miserere. Memento, Domine, hujus loci sancti tui et omnium habitationum Patrum nostrorum Orthodoxorum.

Diaconus. Orate pro securitate hujus loci et omnium locorum Patrum nostrorum Orthodoxorum, Eremitarum et Anachoretarum, illorumque qui habitant in eis, et pro securitate totius mundi, ut Christus Deus noster conservet eos ab omni malo, et parcat nobis.

Sacerdos. Omnes urbes, regiones, et provincias, et omnes domos fidelium conserva, et nos omnes in fide Orthodoxa usque ad extremum spiritum: haec enim unica spes nostra est.

LITURGIA COPTIT. SANCTI CYRILLI.

Domine miserere. Memento, Domine, circumstantium, qui nobiscum deprecationis participes sunt.

Diaconus. Orate pro circumstantibus.

* * *

Sacerdos. Patres et fratres nostros, et reliquos ubicumque terrarum sint, conserva nobiscum, praesidio exercitus potestatum sanctarum: et libera nos a telis igneis diaboli, et ab omnibus insidiis diabolicis, et ab omni laqueo vanae gloriae.

Domine miserere.

Sacerdos. Memento, Domine, eorum omnium qui nobis praeceperunt ut eorum memores essemus in orationibus et supplicationibus ad te nostris,

* * *

Sacerdos. quas offerimus tibi, Christe Deus noster, praesertim hoc tempore hujus oblationis sanctae: quorum memoriam semper agimus, et quos unusquisque nostrum in mente habet; et eorum commemoratio, quae hodie agitur, p. 44
sit ipsis tanquam murus firmus, superans omnes daemoniorum insultus et consilia hominum improborum.

Sacerdos. Memento, Domine, tenuitatis meae et miseriae animae meae, et largire mihi ut intelligam quantae dignitatis sit adstare me ad altare tuum sanctum. Aufer a me omnia desideria insipientiae et juventutis: neque hoc mihi grave sit cum respondendum erit in die illo terribili. Libera me etiam ab

CODEX ROSSANENSIS.

ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, καὶ τὰς ἁμαρτίας μου ἐξάλειψον, ὡς φιλάνθρωπος Θεός. συμπάρεσο δὲ ἡμῖν λειτουργοῦσι τῷ παναγίῳ σου ὀνόματι. τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον. τὴν εἰδωλολατρείαν τέλεον ἐκρίζωσον ἀπὸ τοῦ κόσμου. τὸν σατανᾶν καὶ πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν καὶ πονηρίαν σύντριψον ὑπὸ τοὺς πόδας ἡμῶν. τοὺς ἐχθροὺς τῆς ἐκκλησίας σου, Κύριε, ὡς πάντοτε, καὶ νῦν ταπείνωσον. γύμνωσον αὐτῶν τὴν ὑπερηφανίαν· δεῖξον αὐτοῖς ἐν τάχει τὴν ἀσθένειαν αὐτῶν· τὰς
(1) ἐπιβουλὰς αὐτῶν καὶ τὰς μαγγανίας καὶ τὰς πανουργίας ἃς ποιοῦσι καθ' ἡμῶν ἀπράκτους ποίησον.

fol. 54 ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες τὸ ὄνομά σου τὸ ἅγιον. τὸν δὲ λαόν σου τὸν πιστὸν
(2) καὶ ὀρθόδοξον ἐπ' εὐλογίαις χιλίας χιλιάδας καὶ μυρίας μυριάδας, ποιοῦντας τὸ θέλημά σου τὸ ἅγιον.

Ὁ διάκονος. Οἱ καθήμενοι ἀνάστ.

Ὁ ἱερεὺς λέγει εὐχήν.

ROTULUS VATICANUS.

ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ τὰς ἁμαρτίας ἡμῶν ἐξάλειψον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. συμπάρεσο ἡμῖν λειτουργοῦσι τῷ παναγίῳ σου Πνεύματι. τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον. τὴν εἰδωλολατρείαν τέλεον ἐκρίζωσον ἀπὸ τοῦ κόσμου. τὸν σατανᾶν καὶ πᾶσαν αὐτοῦ (a)
τὴν ἐνέργειαν καὶ πονηρὰν δύναμιν σύντριψον ὑπὸ [τοὺς πόδας ἡμῶν]. τοὺς ἐχθροὺς τῆς ἐκκλησίας σου, Κύριε, καὶ νῦν ταπείνωσον. γύμνωσον αὐτῶν τὴν ὑπερηφανίαν· δεῖξον αὐτοῖς ἐν τάχει τὴν ἀσθένειαν· τὸν φθόνον αὐτῶν κατάργησον· τὰς ἐπιβουλὰς
αὐτῶν καὶ τὰς μαγγανίας καὶ τὰς παν- p. 32
ουργίας ἃς ποιοῦσιν καθ' ἡμῶν ἀπράκτους ποίησον.

{Ὁ διάκονος. Καὶ ὑπὲρ εἰρήνης.

Ὁ λαός. Καὶ τούτ. καὶ πάντ. ἀναφ.} (sic)

Ὁ ἀρχιδιάκονος. Οἱ καθήμενοι ἀνάστητε.

{Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην.} (b)

Ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες τὸ ὄνομά σου τὸ ἅγιον. τὸν δὲ λαόν σου τὸν πιστὸν καὶ ὀρθόδοξον ποίησον ἐπ' εὐλογίαις χιλίας χιλιάδας καὶ μυρίας μυριάδας, ποιοῦντας τὸ θέλημά σου τὸ ἅγιον.

Ὁ ἀρχιδιάκονος. Εἰς ἀνατολὰς βλέψατε.

Ὁ ἱερεὺς ἐκφών. {μικρ.} (c)

(1) D. omitted καὶ τὰς μαγγανίας.

(2) Supply ποίησον from the other copies.

(a) An Arabic note.

(b) The words in brackets seem to have been added. There is also an erasure.

(c) Added.

ROTULUS MESSANENSIS.

(1) [Τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον. τὴν εἰδωλολατρείαν τέλεον ἐκρίζωσον ἀπὸ τοῦ] κόσμου. τὸν σατ[ανᾶν καὶ πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν καὶ πονη]ρίαν σύντριψον ὑπὸ τοὺς πόδας [ἡμῶν. τοὺς ἐχθροὺς] τῆς ἐκκλησίας σου καὶ νῦν ταπείνωσον. γύμνωσον αὐτῶν τὴν ὑπερη[φανίαν·] δεῖξον αὐτοῖς ἐν τάχει τὴν ἀσθένειαν αὐτῶν· τὰς ἐπιβουλάς, τὰς μαγγανίας ἃς ποιοῦσιν καθ' ἡμῶν ἀπράκτους ποίησον.

(2) Ὁ διάκονος. Οἱ καθήμενοι ἀναστήτωσαν.

Ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσάν πάντες οἱ μισοῦντες τὸ ὄνομά σου. τὸν δὲ λαόν σου τὸν πιστὸν καὶ ὀρθόδοξον εὐλογήσας, ποίησον αὐτὸν εἰς χιλίας χιλιάδας καὶ μυρίας μυριάδας, ποιοῦντας τὸ θέλημά σου τὸ ἅγιον, εὔσπλαγχνον, εὐάρεστον καὶ τέλειον.

(1) I have filled up the intervals in the Manuscript by words taken from the other copies.

(2) The words of the Deacon are written in uncials. So too are the Rubrics, generally, and the words uttered by the Priest ἐκφώνως.

LITURGIA COPTIT. SANCTI CYRILLI.

omnibus operationibus potestatis adversarii: neque me perdas propter iniquitates meas, neque irascaris mihi usque in aeternum, neque serves mihi mala mea, sed ostende mihi bonitatem erga me tuam, et libera me indignum secundum multitudinem misericordiae tuae super me; (*Tono Genesis*) ut benedicam tibi semper omnibus diebus vitae meae.

* * *

Domine miserere. Benedic congregationibus nostris.

Sacerdos. Cultum idolorum prorsus ex mundo extermina: satanam et omnes potestates ejus pessimas contere et deprime sub pedibus nostris velociter: scandala et eorum autores compesce, ut finiantur divisiones perniciosae haereseon: hostium Ecclesiae tuae sanctae, Domine, ut semper ita etiam nunc, destrue superbiam cordis: fac illis notam velociter imbecillitatem suam: reprime eorum invidiam, fraudes et machinationes, et calumnias quibus nos impugnant, easque redde omnes inutiles: dissipa consilia eorum, Deus, qui dissipasti consilium Achitophel.

Exsurge Domine Deus et dissipentur omnes inimici tui, et fugiant a facie tua omnes qui oderunt nomen tuum sanctum; p. 45
et populus tuus in benedictionibus millies millenis et decies millies decies millenis faciat voluntatem tuam.

Diaconus. Qui sedetis, surgite. (a)

(a) This rubric is also in the "Canon Universalis Æthiopum."

CODEX ROSSANENSIS.

Λύτρωσαι δεσμίους, ἐξέλου τοὺς ἐν ἀνάγκαις, πεινῶντας χόρτασον, ὀλιγοψυχοῦντας παρακάλεσον, πεπλανημένους ἐπίστρεψον, ἐσκοτισμένους φωταγώγησον, πεπτωκότας ἔγειρον, σαλευομένους στήριξον, νενοσηκό-
(1) τας ἴασαι· πάντας ἄγαγε εἰς τὴν ὁδὸν τῆς σωτηρίας, σύναψον καὶ αὐτοὺς τῇ ἁγίᾳ σου ποίμνῃ· ἡμᾶς δὲ ῥῦσαι ἀπὸ τῶν ἀνομιῶν ἡμῶν, φρουρὸς ἡμῶν καὶ ἀντιλήπτωρ κατὰ πάντα γενόμενος.

Ὁ διάκονος. Εἰς ἀνατολ.

Καὶ κλίνει ὁ ἱερεὺς καὶ εὔχεται.

fol. 61 b Σὺ γὰρ εἶ ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. σοὶ παραστήκουσι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί. σοὶ παραστήκουσι τὰ δύο τιμιώτατά σου ζῶα, τὰ πολυόμματα χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ δυσὶ μὲν πτέρυξι τὰ πρόσωπα καλύπτοντα καὶ δυσὶ τοὺς πόδας, καὶ δυσὶν ἱπτάμενα, καὶ
(sic) κέκραγεν ἕτερος πρὸς τὸν ἕτερον ἀκαταπαύστοις στόμασι καὶ ἀσιγήτοις θεολογίαις, τὸν ἐπινίκιον καὶ τρισάγιον ὕμνον ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα τῇ μεγαλοπρεπεῖ σου δόξῃ· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης.

(1) The Rossano MS. has ἀγαθέ.

ROTULUS VATICANUS.

Λύτρωσαι δεσμίους, ἐξέλου τοὺς ἐν ἀνάγκαις, πεινῶντας χόρτασον, διψῶντας πότισον, ὀλιγοψυχοῦντας παρακάλεσον, πεπλανημένους ἐπίστρεψον, ἐσκοτισμένους φωταγώ- p. 23
γησον, πεπτωκότας ἔγειρον, σαλευομένους στήριξον, νενοσηκότας ἴασαι· πάντας ἄγαγε
εἰς τὴν [ὁδὸν] ἡμῶν σωτηρίας, σύναψον αὐτοὺς (a)
τῇ ἁγίᾳ σου ποίμνῃ· ἡμᾶς δὲ ῥῦσαι ἀπὸ τῶν ἀνομιῶν ἡμῶν, φρουρὸς ἡμῶν καὶ ἀντιλήπτωρ κατὰ πάντα γενόμενος.

Σὺ γὰρ εἶ ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. σοὶ παραστήκουσι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί. σοὶ παραστήκουσι τὰ δύο τιμιώ-
τατά σου ζῶα, τὰ πολυόμματα χερουβίμ, p. 24
καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ δυσὶ μὲν πτέρυξι τὰ πρόσωπα κατακαλύπτοντα καὶ δυσὶ τοὺς πόδας, καὶ δυσὶν ἱπτάμενα, κέκραγεν
ἕτερος πρὸς τὸν ἕτερον ἀκαταπαύστοις στό- (sic)
μασι καὶ ἀσιγήτοις χείλεσιν, τὸν ἐπινίκιον καὶ τρισάγιον ὕμνον ᾄδοντα, βοῶντα, δοξολογοῦντα, τῇ μεγαλοπρεπεῖ σου δόξῃ, λαμπρᾷ τῇ φωνῇ· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης.

{*Ὁ ἀρχιδιάκονος.* Παύσασθε τῇ ἰδίᾳ φωνῇ. (b)
Ὁ ἱερεὺς ἐκφώ.}

(a) Perhaps ἡμῶν was an error for ὁδόν.

(b) MS. παύσασθαι τῇ ἠδιάφω, *apparently recent.

ROTULUS MESSANENSIS.

Λύτρωσαι δεσμίους, ἐξέλου τοὺς ἐν ἀνάγκαις, πεινῶντας χόρτασον, ὀλιγοψυχοῦντας παρακάλεσον, πεπλανημένους ἐπίστρεψον, ἐσκοτισμένους φωταγώγησον, σαλευομένους
(1) στήριξον, πεπτωκότας ἔγειρον, νενοσηκότας ἴασαι· πάντας ἄγαγε εἰς τὴν ὁδὸν τῆς σωτηρίας· σύναψον [καὶ αὐ]τοὺς τῇ ἁγίᾳ σου ποίμνῃ· καὶ ἡμᾶς ῥῦσαι ἀπὸ τῶν ἀνομιῶν ἡμῶν.

Ὁ διάκονος. Εἰς ἀνατολὰς [βλέψ]ατε.

Καὶ ὑποκλίνει ὁ ἱερεὺς λέγων μυστικῶς,

Σὺ γὰρ εἶ ὁ ὑπεράνω πάσης [ἀρχῆς] καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ
(2) παντὸς ὀνόματος [ὀνομ]αζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. σοὶ παραστήκουσιν [χίλιαι] χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων στρατιαί. σοὶ παραστήκουσιν τὰ πολυ[όμμα]τα χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα σεραφίμ. ταῖς μὲν δυσὶ πτέρυξι καλύπτοντα τὰ ἑαυτῶν πρόσωπα καὶ ταῖς δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, κέκραγεν ἕτερος πρὸς τὸν ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις ὑμνολογίαις, τὸν ἐπινίκιον καὶ τρισάγιον ὕμνον, ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα τῇ μεγαλοπρεπεῖ σου δόξῃ

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, Κύριος σαβαώθ· πλήρης [ὁ οὐρα]νὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης.

(1) πεπτωκότας ἔγειρον have been interlined.

(2) ὀνόματος repeated.

LITURGIA COPTIT. SANCTI CYRILLI.

Sacerdos. Solve captivos: salve eos qui necessitatem patiuntur: esurientes satia: conforta pusillanimes: lapsos erige: stantes confirma: errantes converte: perduc eos omnes ad viam salutis tuae: numera illos omnes cum populo tuo: libera nos a peccatis nostris: esto, Domine, nobis custos et protector in omnibus.

Diaconus. Ad Orientem aspicite. (a)

Sacerdos. Tu es Deus excelsus super omnes principatus et potestates, dignitates et dominationes, et super omne nomen, quod nominari potest, non solum in hoc saeculo, sed etiam in futuro. Tu es coram quo assistunt mille milleni et decies millies, decies mille milleni Angeli et Archangeli sancti, tibi ministrantes. Tibi assistunt duo animalia gloriosissima sex alis instructa, plena oculis, Seraphim et Cherubim: duabus alis tegunt facies suas, propter divinitatem tuam invisibilem nec mente comprehensibilem: duabus tegunt pedes suos et duabus volant: (b)

Sacerdos alta voce. Unusquisque eorum semper te sanctificat: sed et cum omnibus qui te sanctificant suscipe quoque sanctificationem nostram a nobis, Domine, ut cum illis te laudemus, dicentes (b)

Populus. SANCTUS, SANCTUS, SANCTUS. (b)

(*a*) This rubric is also in the "Canon Universalis Æthiopum."

(*b*) These passages may also be seen either entire or slightly altered in the Æthiopian Canon.

CODEX ROSSANENSIS.

fol. 56 (1) 'Εκφώνως. Πάντοτε μὲν πάντα σε ἁγιάζει· ἀλλὰ καὶ μετὰ πάντων τῶν σε ἁγιαζόντων, δέξαι, Δέσποτα Κύριε, καὶ τὸν ἡμέτερον ἁγιασμόν, σὺν αὐτοῖς ὑμνούντων καὶ λεγόντων,

'Ο λαός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος.

'Ο ἱερεὺς σφραγίζων τὰ ἅγια, λέγει·

Πλήρης γάρ ἐστιν ὡς ἀληθῶς ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης διὰ τῆς ἐπιφανείας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· πλήρωσον, ὁ Θεός, καὶ ταύτην τὴν θυσίαν τῆς παρὰ σοῦ εὐλογίας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος· ὅτι αὐτὸς ὁ Κύριος καὶ Θεὸς καὶ Παμβασιλεὺς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τὸν ὑπὲρ πάντων
(2) ὑφίστατο θάνατον σαρκί, συνανακλιθεὶς μετὰ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων,
(3) ἄρτον λαβὼν ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς
fol. 56b (4) τὸν οὐρανὸν πρὸς σὲ τὸν ἴδιον Πατέρα, Θεὸν δὲ ἡμῶν καὶ Θεὸν τῶν ὅλων, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, διέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,

'Εκφώνως. Λάβετε, φάγετε.

'Ο διάκονος. 'Εκτείνατε.

(1) MS. πάντας ἁγιάζει. Bunsen suggested πάντα σ' ἁγιάζει. The other MSS. shew that his suggestion was correct.

(2) D. printed ὑψίστατον. Bunsen suggested ὑφίστατο, which is the reading of the Manuscript.

(3) D. printed μετὰ for ἐπί.

(4) D. omitted τὸν οὐρανὸν πρὸς σέ.

ROTULUS VATICANUS.

Πάντοτε μὲν τὰ πάντα σε ἁγιάζει· ἀλλὰ καὶ μετὰ πάντων τῶν σε ἁγιαζόντων, δέξαι, Δέσποτα Κύριε, καὶ τὸν ἡμέτερον ἁγιασμόν, σὺν αὐτοῖς ὑμνούντων καὶ λεγόντων σοι,

'Ο λαός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ.

{*'Ο ἱερεὺς εὔχεται μυστικῶς.*} (a)

Πλήρης γάρ ἐστιν ὡς ἀληθῶς ὁ οὐρανὸς p. 35
καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης διὰ τῆς ἐπιφανείας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· πλήρωσον, ὁ Θεός, καὶ ταύτην τὴν θυσίαν τῆς παρὰ σοῦ εὐλογίας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος· ὅτι αὐτὸς ὁ Κύριος καὶ Θεὸς καὶ Σωτὴρ καὶ Παμβασιλεὺς ἡμῶν Ἰησοῦς Χριστὸς τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τὸν ὑπὲρ πάντων ὑφίστατο θάνατον σαρκί, συνανακλιθεὶς μετὰ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, ἄρτον λαβὼν

{'Ο λαός. Ἄρτον ζωῆς.} (b)

ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν πρὸς σὲ τὸν ἴδιον Πατέρα, Θεὸν ἡμῶν καὶ Θεὸν τῶν ὅλων, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκεν τοῖς ἁγίοις
καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις p. 36
εἰπών,

'Ο ἱερεὺς ἐκφών. Λάβετε, φάγετε.

'Ο διάκονος. 'Εκτείνατε ὑπὲρ βήματος.

(a) Recent.

(b) In the margin. There is also a rubric in Arabic.

ROTULUS MESSANENSIS.

Ἐκφώνως. Πάντοτε μὲν τὰ πάντα σε ἁγιάζει· ἀλλὰ [καὶ] μετὰ πάντων τῶν σε
(1) ἁγιαζόντων, δέξαι, Δέσποτα Κύριε, καὶ τὸν ἡμέτερον ἁγιασμόν, [σὺν] αὐτοῖς ὑμνούντων καὶ λεγόντων,

Ὁ λαός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ [οὐραν]ὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης.

Ὁ ἱερεὺς σφραγίζων λέγει·

Πλήρης γὰρ ἀληθῶς ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· πλήρωσον, ὁ Θεός, καὶ ταύτην τὴν θυσίαν τῆς παρὰ σοῦ εὐλογίας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος· ὅτι αὐτὸς ὁ Κύριος καὶ Θεὸς καὶ Σωτὴρ καὶ Παμβασιλεὺς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, ἄρτον λαβὼν ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀθανάτων χειρῶν αὐτοῦ, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοι τῷ Θεῷ καὶ
(2) Πατρί, {ἐπὶ τοῦτο} εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ κλάσας ✠ μετέδωκεν τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,

Ἐκφών. Λάβετε, φάγετε.

Ὁ δ[ιάκονος]. Ἐκτείνατε, οἱ πρεσβύτεροι.

LITURGIA COPTIT. SANCTI CYRILLI.

Sacerdos. Vere pleni sunt caeli et terra gloria tua sancta, per Filium tuum unigenitum Dominum, Deum, Salvatorem et Regem nostrum omnium Jesum Christum. Imple hoc sacrificium tuum, Do- (a)
mine, benedictione quae a te est per illapsum super illud Spiritus tui Sancti, ✠ *Amen*: et benedictione benedic, ✠ *Amen*: et purificatione purifica, *Amen*, haec dona tua veneranda proposita coram te, hunc panem et hunc calicem. Quippe Filius tuus unigenitus, Dominus, Deus, Salvator et Rex noster omnium Jesus Christus, ea nocte qua tradidit se ipsum ut pateretur pro peccatis nostris, ante mortem quam propria sua voluntate suscepit pro nobis omnibus,

Populus. Credimus.

Sacerdos. Accepit panem in manus suas sanctas, immaculatas, puras, beatas, et vivificantes, et suspexit in caelum, ad te Deum Patrem suum et omnium Dominum, et gratias egit, *Amen.* (a)

Sacerdos. Et benedixit illum, *Amen.* (a)

Sacerdos. Et sanctificavit illum, p. 46
Amen. (a)

Sacerdos. Et fregit illum, et dedit illum suis Discipulis sanctis et Apostolis puris dicens: Accipite, manducate ex eo

(1) The MS. has δόξα for δέξαι.
(2) ἐπὶ τοῦτο interlined.

(a) These passages may also be seen either entire or slightly altered in the Æthiopian Canon.

CODEX ROSSANENSIS.

(1) *Ὁ ἱερεὺς ἐκφών.* Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ *λαός.* Ἀμήν.

Ὁ δὲ ἱερεὺς λέγει ἐπευχόμενος·

Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λαβών, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, ἀναβλέψας εἰς τὸν οὐρανὸν πρὸς σὲ τὸν ἴδιον Πατέρα, Θεὸν δὲ ἡμῶν καὶ Θεὸν

(2) τῶν ὅλων, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, πλήσας Πνεύματος ἁγίου, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες·

Ὁ διάκονος. Ἔτι ἐκτείνατε.

fol. 16 *Ὁ ἱερεὺς ἐκφών.* Τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ

(3) πολλῶν ἐκχυνόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς εὔχεται οὕτως.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, πίνητε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν καὶ ἀνάληψιν ὁμολογεῖτε, ἄχρις οὗ ἐὰν ἔλθω.

(1) D. inserted *γάρ*.
(2) D. omitted *ἁγιάσας*.
(3) Dr Neale read *ἐκχεόμενον*.

ROTULUS VATICANUS.

Τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν (a)
κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς εὐχ. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λαβών, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, ἀναβλέψας ✠

{*Ὁ λαός.* Ἐπιβλέψατε.} (b)

εἰς τὸν οὐρανὸν πρὸς σὲ τὸν ἴδιον Πατέρα, Θεὸν ἡμῶν καὶ Θεὸν τῶν ὅλων, εὐχαριστήσας, ✠

{*Ὁ λαός.* Πιστεύομεν.} (b)

Εὐλογήσας ✠, ἁγιάσας ✠, πλήσας Πνεύματος ἁγίου, μετέδωκεν τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών,

Ὁ ἱερεὺς ἐκφών. Πίετε ἐξ αὐτοῦ πάντες·

{*Ὁ διάκονος.* Ἔτι ἐκτείνατε.}

Τοῦτό μού ἐστι τὸ αἷμα, τὸ τῆς καινῆς
διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνό- (c)
μενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρ- p. 37
τιῶν.

{*Ὁ λαός.* Ἀμήν. *Ὁ ἱερεὺς εὐχ.*} (c)

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, πίνητε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν καὶ ἀνάληψιν ὁμολογεῖτε ✠ ἄχρις οὗ ἂν ἔλθω.

{*Ὁ λαός.* Τὸν θάνατόν σου, Κύριε.

Ὁ ἱερεὺς ἐκφών.} Τὰ σὰ ἐκ τῶν σῶν σοι (c)
προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα,

(a) The MS. has *ἡμῶν*.
(b) These sentences are in the margin. The crosses have all been interlined.
(c) Added.

ROTULUS MESSANENSIS.	LITURGIA COPTIT. SANCTI CYRILLI.
(1) Τοῦτό μού ἐστιν τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.	vos omnes, Hoc est corpus meum quod pro vobis frangitur et pro multis tradetur in remissionem peccatorum; hoc facite in meam commemorationem. *Amen.*
Ὁ λαός. Ἀμήν.	
Ὡσαύτως μετὰ τὸ δειπνῆσαι λαβὼν ποτήριον καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἀναδείξας σοι τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ πλήσας Πνεύματος ἁγίου, μετέδωκεν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,	*Sacerdos.* Similiter et calicem post coenam miscuit vino et aqua, et gratias egit, *Amen.* *Sacerdos.* Et benedixit eum, *Amen.* *Sacerdos.* Et sanctificavit eum, *Amen.* *Sacerdos.* Et gustavit, deditque eum suis praeclaris sanctis Discipulis et Apostolis, dicens:
Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες·	Accipite, bibite ex eo vos omnes:
Ὁ διάκονος. Ἔτι ἐκτείνατε.	
Τοῦτό μού ἐστιν τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχεόμενον καὶ διαδιδόμενον εἰς ἄφε[σιν ἁμαρτιῶν.]	Hic est sanguis meus novi testamenti, qui pro vobis effunditur et pro multis dabitur in remissionem peccatorum:
(2) Ὁ ἱερεὺς τὴν εὐχήν.	
Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, πίνητε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε, ἄχρις οὗ ἂν ἔλθω.	Hoc facite in meam commemorationem; *Amen.* *Sacerdos.* Quotiescumque enim manducabitis ex hoc pane, et bibetis ex hoc calice, annunciate mortem meam, et confitemini resurrectionem meam, et memoriam mei agite, donec veniam.
Ὁ διάκονος. Πιστεύομεν καὶ ὁμολ.	*Populus.* Mortem tuam annunciamus, Domine.

(1) The MS. had ἡμῶν, but it was corrected *primâ manu.*
(2) The rubric seems to have been added.

CODEX ROSSANENSIS.

Τὸν θάνατον, Δέσποτα Κύριε παντοκράτωρ, ἐπουράνιε Βασιλεῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καταγγέλλοντες, καὶ τὴν τριήμερον καὶ μακαρίαν αὐτοῦ ἐκ νεκρῶν ἀνάστασιν ὁμολογοῦντες, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν καὶ τὴν δευτέραν καὶ φρικτὴν καὶ φοβερὰν αὐτοῦ παρουσίαν ἀπεκδεχόμενοι, ἐν ᾗ μέλλει ἔρ-
fol. 56 b χεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα
(1) αὐτοῦ·

φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν·

σοὶ ἐκ τῶν σῶν δώρων προεθήκαμεν ἐνώπιόν σου·

ROTULUS VATICANUS.

{Ὁ λαός. Σὲ ὑμνοῦμεν. (a)

Ὁ ἱερεὺς τὴν εὐχὴν μυστικῶς.}

τὸν θάνατον, Δέσποτα Κύριε παντοκράτωρ, ἐπουράνιε Βασιλεῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν καταγγέλλοντες, καὶ τὴν τριήμερον καὶ μακαρίαν αὐτοῦ ἐκ νεκρῶν ἀνάστασιν ὁμολογοῦντες, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν
σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν καὶ τὴν p. 28
δευτέραν καὶ φρικτὴν καὶ φοβερὰν αὐτοῦ παρουσίαν

{Πιστεύομεν καὶ ὁμολογοῦμεν τὸ σῶμα.} (b)

ἀπεκδεχόμενοι, ἐν ᾗ μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

Ὁ ἱερεὺς ἐκφών. Φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν. γ΄.

Κύριε ἐλέησον. γ΄. (c)

✠ Σοὶ τὰ σὰ ἐκ τῶν σῶν δώρων προεθήκαμεν ἐνώπιόν σου,

(1) D. omitted ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν, and read σοὶ Κύριε ὁ Θεὸς ἡμῶν τὰ σά.

(a) Added apparently.
(b) Added in the margin.
(c) Κύριε ἐλέησον added in the margin.

ROTULUS MESSANENSIS.

Τὸν θάνατον, Κύριε παντοκράτωρ ἐπουράνιε, τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καταγγέλλοντες, καὶ τὴν τριήμερον καὶ μακαρίαν αὐτοῦ ἐκ νεκρῶν ἀνάστασιν ὁμολογοῦντες, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν καὶ τὴν ἐκ δεξιῶν αὐτοῦ τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν, καὶ τὴν ἔνδοξον καὶ φοβερὰν αὐτοῦ παρουσίαν ἀπεκδεχόμενοι, ἐν ᾗ μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, σοὶ τὰ σὰ ἐκ τῶν σῶν δώρων προεθήκαμεν ἐνώπιόν σου,

LITURGIA COPTIT. SANCTI CYRILLI.

Sacerdos. Nunc, Deus Pater omnipotens, annunciamus mortem unigeniti Filii tui Domini, Dei, Salvatoris, et Regis nostri omnium Jesu Christi: et confitemur resurrectionem ejus sanctam, et ascensionem ejus sursum in caelos, sessionemque ejus ad dexteram tuam, O Pater: et exspectamus adventum ejus secundum, quo venturus est ex caelis, terribilem et gloria plenum, in fine hujus saeculi: in quo veniet ad judicandum orbem in aequitate: et dabit unicuique secundum opera sua sive bonum, sive p. 46
malum.

Populus. Secundum misericordiam tuam, Domine, et non secundum peccata nostra.

Sacerdos. Tu es coram cujus gloria haec sancta dona proponimus, ex illis quae tua sunt, Pater Sancte.

Diaconus. Adorate Deum cum timore. p. 47

Sacerdos. Oramus et obsecramus bonitatem tuam, Amator hominum: ne confundas nos confusione aeterna, neque rejicias nos servos tuos, neque repellas nos a facie tua, neque dicas nobis Nescio vos: sed da aquas capitibus nostris, et fontem lacrymarum oculis nostris, ut ploremus die ac nocte coram te delicta nostra; quia nos sumus populus tuus et oves pascuae tuae. Dele iniquitates nostras, et remitte delicta nostra, quae commisimus voluntarie aut involuntarie, scienter vel ignoranter, occulta et manifesta, quae pridem agnovimus aut quae obliti sumus, et quae novit nomen tuum sanctum. Audi, Domine, deprecationem plebis tuae: respice ad suspiria servorum tuorum; neque propter peccata mea aut immunditias cordis mei, deprives populum tuum adventu Spiritus tui Sancti.

Populus. Miserere nostri, Deus Pater omnipotens.

Sacerdos involvit manus suas velo, et signum crucis facit versus populum, mox dicit alta voce,

Populus enim tuus et Ecclesia tua obsecrant te, dicentes: *Et mox respicit ad Orientem.*

Populus. Miserere nostri, Deus Pater omnipotens.

Sacerdos. Miserere nostri, Deus Pater omnipotens.

Diaconus. Adorate Deum Patrem omnipotentem.

Sacerdos dicit invocationem secreto.

CODEX ROSSANENSIS.

καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε ἀγαθέ, ἐξαπόστειλον ἐξ ὕψους ἁγίου σου, ἐξ ἑτοίμου κατοικητηρίου σου,
(1) ἐκ τῶν ἀπεριγράπτων κόλπων σου, αὐτὸν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας,
(2) τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐν νόμῳ καὶ προφήταις καὶ ἀποστόλοις λαλῆσαν, τὸ πανταχοῦ παρὸν καὶ τὰ πάντα πληροῦν, ἐνεργοῦν τε αὐτεξουσίως οὐ διακονικῶς ἐφ' οὓς βούλεται τὸν ἁγιασμὸν εὐδοκίᾳ τῇ σῇ, τὸ ἁπλοῦν τὴν φύσιν, τὸ
(3) πολυμερὲς τὴν ἐνέργειαν, τὴν τῶν θείων χαρισμάτων πηγήν, τὸ σοὶ ὁμοούσιον, τὸ ἐκ σοῦ ἐκπορευόμενον, τὸ σύνθρονον τῆς βασιλείας σου καὶ τοῦ μονογενοῦς σου
fol. 57 Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος
(4) ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔπιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς ἄρτους τούτους καὶ ἐπὶ τὰ ποτήρια ταῦτα τὸ Πνεῦμά σου τὸ ἅγιον,
(5) ἵνα αὐτὰ ἁγιάσῃ καὶ τελειώσῃ, ὡς παντοδύναμος Θεός,

Ἐκφώνως. Καὶ ποιήσῃ τὸν μὲν ἄρτον σῶμα, Ὁ λαός. Ἀμήν.

Τὸ δὲ ποτήριον αἷμα τῆς καινῆς διαθήκης,

(1) Renaudot omitted σου.

(2) D. printed τὸν Κύριον.

(3) D. printed πλήμερες. Bunsen again suggested the correct reading. The MS. has πολυμερές. See Renaudot I. 299, 300.

(4) *Sic.* Drouard printed ἔτι δέ. See Note in the Appendix.

(5) MS. ἁγιάσει, τελειώσει, ποίησει.

ROTULUS VATICANUS.

Καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθέ,

Ὁ λαός. Κύριε ἐλέησον. γ'.

ἐξαπόστειλον ἐξ ὕψους ἁγίου σου, ἐξ ἑτοίμου κατοικητηρίου σου, ἐκ τῶν ἀπεριγράπτων κόλπων σου, αὐτὸν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ Ἅγιον, τὸ Κύριον καὶ Ζωοποιόν, τὸ ἐν νόμῳ καὶ προφήταις καὶ ἀποστόλοις λαλῆσαν, τὸ πανταχοῦ παρὸν καὶ τὰ πάντα πληροῦν, ἐνεργοῦν P.
τε αὐτεξουσίως καὶ οὐ διακονικῶς ἐφ' οὓς βούλεται τὸν ἁγιασμὸν εὐδοκίᾳ τῇ σῇ, τὸ ἁπλοῦν τῇ φύσει, τὸ πολυμερὲς τὴν ἐνέργειαν, τὴν τῶν θείων χαρισμάτων πηγήν, τὸ σοὶ ὁμοούσιον, τὸ [ἐκ σοῦ] ἐκπορευόμενον, τὸ σύνθρονον τῆς βασιλείας σου καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν καὶ παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ὁ ἱερεύς. Ἔφιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν (a
ἄρτον τοῦτον, Ὁ λαός. Ἀμήν.

Καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, Ὁ λαός. Ἀμήν.

Ἵνα αὐτὰ εὐλογήσῃ, Ὁ λαός. Ἀμήν.

Καὶ ἁγιάσῃ, καὶ τελειώσῃ, ὡς παντοδύναμος Θεός, Ὁ λαός. Ἀμήν.

Καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σῶμα, Ὁ λαός. Ἀμήν. (a

Τὸ δὲ ποτήριον αἷμα τῆς καινῆς διαθήκης,

(a) In the margin are letters which may possibly mean ὦ ὁ Θεὸς ἀλληλούϊα ∴ πιστεύομεν.

ROTULUS MESSANENSIS.

καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάν-
(1) θρωπε ἀγαθέ, ἐξαπόστειλον ἐξ ὕψους ἁγίου
σου, ἐκ τῶν ἀπεριγράπτων κόλπων, αὐτὸν τὸν
[Παρ]άκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας,
τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐν
νόμῳ καὶ προφήτ[αις καὶ] ἀποστόλοις λα-
λῆσαν, τὸ πανταχοῦ παρὸν καὶ τὰ πάντα
πληροῦν, ἐνεργοῦν τε αὐτεξου[σίως] καὶ
οὐ διακονικῶς ἐφ' οὓς βούλεται τὸν ἁγιασ-
μὸν εὐδοκίᾳ τῇ σῇ, τὸ ἁπλοῦν τὴν φύσιν
[καὶ π]ολυμερὲς τὴν ἐνέργειαν, τὸ σοὶ
(2) ὁμοούσιον, τὸ ἐκ σοῦ ἐκπορευόμενον, τὸ
σύνθρονον [τῆς] βασιλείας σου [καὶ τοῦ
μονογενοῦς σου] Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ
καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐφ'
ἡμᾶς καὶ ἐπὶ τοὺς ἄρτους τούτους καὶ ἐπὶ
[τὰ πο]τήρια ταῦτα τὸ Πνεῦμά σου τὸ
ἅγιον, ἵνα αὐτὰ ἁγιάσῃ καὶ τελειώσῃ,

(3) Ὁ λαός. Ἀμήν.

ὡς παντοδύναμος Θεός, [καὶ ποι]ήσῃ τὸν μὲν ἄρτον σῶμα, ✠ τὸ δὲ ποτήριον αἷμα τῆς καινῆς διαθήκης, ✠ αὐτοῦ τοῦ [Κυρίου καὶ

(1) MS. has Γ̄ for ἀγαθέ.

(2) MS. σοὶ for ἐκ σοῦ. In the next line there is the mark of an omission after σου. The margin which supplied the correction is eaten away here. I have therefore supplied the words from the other MSS.

(3) This is interlined.

LITURGIA COPTIT. SANCTI CYRILLI.

Et mitte deorsum ex excelso tuo sancto et ex habitaculo tuo praeparato et ex incircumscripto sinu tuo et ex solio regni gloriae tuae, Paraclitum Spiritum tuum Sanctum, Subsistentem
in Persona sua, Immutabilem nec altera- (a)
tioni obnoxium, Dominum, Vivificantem, qui locutus est in lege, Prophetis, et Apostolis, qui est ubique et omnia loca replet neque loco continetur, qui libere, propria potestate, operatur secundum voluntatem tuam puritatem in iis quos diligit et non sicut minister, qui est simplex in natura sua, et in operatione sua multiplex, fons donorum divinorum, consubstantialis tibi, a te procedens, socius throni regni gloriae tuae, cum Filio tuo unigenito, Domino, Deo, Salvatore et Rege omnium nostrum Jesu Christo, super nos servos tuos, et super haec veneranda dona proposita coram te, super hunc panem, et super hunc calicem, ut purificentur et transferantur;

Diaconus. Attendamus. *Populus.* p. 48
Amen.

Sacerdos alta voce, signans ter corpus,

Et hunc panem quidem faciat corpus Christi; *Populus.* Amen.

Sacerdos, signans ter sanguinem,

Et hunc calicem faciat quoque sanguinem pretiosum testamenti novi,

Populus. Amen.

(a) Renaudot has *tua.*

CODEX ROSSANENSIS.

αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ·

Ὁ διάκονος. Κατέλθετε οἱ διάκονοι.

Ὁ ἱερεὺς ἐκφών.

Ἵνα γένωνται πᾶσιν ἡμῖν τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν, εἰς πίστιν, εἰς νῆψιν, εἰς ἴασιν, εἰς σωφροσύνην, εἰς ἁγιασμόν, εἰς ἐπανανέωσιν ψυχῆς, σώματος, καὶ πνεύματος, εἰς κοινωνίαν μακαριότητος ζωῆς αἰωνίου καὶ ἀφθαρσίας, εἰς δοξολογίαν τοῦ παναγίου σου ὀνόματος, εἰς ἄφεσιν ἁμαρτιῶν· ἵνα σοῦ καὶ ἐν τούτῳ, καθὼς καὶ ἐν
fol. 57 b παντί, δοξασθῇ καὶ ὑμνηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον καὶ δεδοξασμένον σου ὄνομα σὺν Ἰησοῦ Χριστῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ λαός. Ὥσπερ ἦν καὶ ἐστίν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Προσεύξασθε.

ROTULUS VATICANUS.

αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν καὶ Παμβασιλέως Ἰησοῦ Χριστοῦ·

Ὁ λαός. Ἀμήν.

Ὁ ἀρχιδιάκονος. Κατέλθετε οἱ διάκονοι.

{Ὁ ἱερεὺς λέγει ἐκφών. μικρ.}

Ἵνα γένωνται πᾶσιν ἡμῖν τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν, εἰς πίστιν, εἰς νῆψιν, εἰς ἴασιν, εἰς εὐφροσύνην, εἰς ἁγιασμόν, εἰς ἐπανανέωσιν ψυχῆς, σώματός τε καὶ πνεύματος, εἰς κοινωνίαν μακαριότητος ζωῆς αἰωνίου καὶ ἀφθαρσίας, εἰς δοξολογίαν τοῦ παναγίου σου ὀνόματος, εἰς ἄφεσιν ἁμαρτιῶν· ἵνα σοῦ καὶ ἐν τούτῳ, καθὼς καὶ ἐν παντί, δοξασθῇ καὶ ὑμνηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον καὶ δεδοξασμένον σου ὄνομα σὺν Ἰησοῦ Χριστῷ καὶ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τ.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγα[λοπρεπὲς ὄνομά σου].

{Ὁ λαός. Ἀμήν. Ἐκφών. Ἀλληλούϊα.}

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ [πάντων ὑμῶν].

Καὶ μετὰ τοῦ πνεύματος.

Ὁ διάκονος. Πάντων τῶν ἁγίων [μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν].

(a) This is in the margin.

(b) In the margin some contractions which may mean Ὁ λαός. ὥσπερ ἦν καὶ ἔστιν.

(c) Apparently added. I have supplied the abbreviations from the Liturgy of St Chrysostom.

ROTULUS MESSANENSIS.

Θεοῦ καὶ Σωτῆρ]ος καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ·

Ὁ διάκονος. Κατέλθετε οἱ διάκονοι· συνεύξασθε οἱ πρεσβύτεροι.

[Ἵνα γένων]ται πᾶσιν ἡμῖν τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν, εἰς πίστιν, εἰς νῆψιν, εἰς ἴασιν, [εἰς σωφροσύ]νην, εἰς ἁγιασμόν, εἰς ἐπανανέωσιν ψυχῆς, σώματός τε καὶ πνεύματος, εἰς κοινωνίαν [μακαριότη]τος ζωῆς αἰωνίου καὶ ἀφθαρσίαν, εἰς δοξολογίαν τοῦ παναγίου σου Πνεύματος, εἰς ἄφεσιν [ἁμαρτι]ῶν· ἵνα σοῦ καὶ ἐν τούτῳ, καθὼς καὶ
(1) ἐν πᾶσιν, δοξασθῇ, ὑμνηθῇ, ὑψωθῇ, καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον καὶ δεδοξασμένον ὄνομά σου σὺν Ἰησοῦ Χριστῷ καὶ ἁγίῳ Πνεύματι.

(2) Ὁ λαός. Ὥσπερ ἦν καὶ ἔστιν καὶ ἔσται εἰς γενεὰν καὶ γενεάν, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) ὑψη *i.e.* ὑψωθῇ interlined.

(2) MS. ὅπερ. The conclusion is doubtful, some words being illegible.

[With the prayer on the next page compare Æthiopic Canon:

Oratio Fractionis alia Basilii.

Deus parens lucis, vitae principium, scientiae largitor, donorum creator, gratiose opifex, animarum nostrarum benefactor; thesaurus sapientiae, doctor sanctorum, fundator saeculorum, precum purarum susceptor, iis qui in eum toto corde confidunt donator munerum, quae desiderant Angeli prospicere: qui e profundo nos eduxit in lucem, qui dedit nobis vitam ex morte: qui concessit nobis libertatem et manumissionem a servitute: qui tenebras erroris quae in nobis erant illustravit, per praesentiam in carne unigeniti Filii sui. Tu ergo etiamnum, Domine, illustra oculos cordis nostri, et perfectos nos effice animis, corporibus, spiritibusque nostris, ut corde sancto et labiis puris audeamus orare te, Deus Pater sancte qui es in caelis, et dicamus.]

LITURGIA COPTIT. SANCTI CYRILLI.

Sacerdos. Ejusdem Domini, Dei, Salvatoris et Regis omnium nostrum Jesu Christi; *Populus.* Amen.

Sacerdos. Ut sint nobis omnibus, qui ea percepturi sumus, utilia ad obtinendam fidem sine disputatione, caritatem absque hypocrisi, patientiam perfectam, spem firmam, fiduciam, protectionem, sanationem, gaudium, et renovationem animae, corporis et spiritus, ad gloriam nominis tui sancti, ad societatem beatam vitae aeternae et incorruptibilis, et ad remissionem peccatorum;

Populus. Sicut erat, etc.

Sacerdos. Ut in hoc sicut et in omnibus rebus glorificetur, benedicatur et extollatur nomen tuum magnum, sanctissimum, venerandum et benedictum, cum Jesu Christo, Filio tuo dilecto, et Spiritu Sancto.

Sacerdos. Pax omnibus.

Populus. Et cum spiritu tuo.

Sacerdos. Iterum gratias agamus Deo omnipotenti etc.

Reliqua petenda sunt ex Liturgia Basilii.

Oratio fractionis ad Patrem.

Deus qui praeelegisti nos ad dignitatem filiorum, per Jesum Christum Dominum nostrum, per beneplacitum voluntatis tuae, ad gloriam et laudem gratiae tuae, quam largitus es nobis per Dilectum tuum, per quem facta est nobis salus, et per cujus pretiosum sanguinem data est nobis remissio peccatorum: gratias agimus tibi, Domine, Deus Pater Om-

CODEX ROSSANENSIS.

Ὁ ἱερεὺς εὔχεται καθ' ἑαυτόν.

(1) *Θεέ, φωτὸς γεννῆτορ, ζωῆς ἀρχηγέ, χά-*
(2) *ριτος ποιητά, αἰωνίων θεμελιῶτα, γνώσεως*
(3) *δωροδότα, σοφίας θησαυρέ, ἁγιωσύνης διδά-*
σκαλε, εὐχῶν καθαρῶν δοχεῦ, ψυχῆς εὐερ-
γέτα, ὁ τοῖς ὀλιγοψύχοις εἰς σὲ πεποιθόσι
(4) *διδοὺς εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύ-*
ψαι· ὁ ἀναγαγὼν ἡμᾶς ἐξ ἀβύσσου εἰς φῶς,
ὁ δοὺς ἡμῖν ἐκ θανάτου ζωήν, ὁ χαρισάμενος
(5) (sic) *ἡμῖν ἐκ δουλείας εἰς ἐλευθερίαν, ὁ τὸ ἐν*
ἡμῖν σκότος τῆς ἁμαρτίας διὰ τῆς παρου-
σίας τοῦ μονογενοῦς σου Υἱοῦ λύσας, αὐτὸς
καὶ νῦν, Δέσποτα Κύριε, διὰ τῆς ἐπιφοι-
τήσεως τοῦ παναγίου σου Πνεύματος, κατ-
αύγασον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν,
Ed. 64 *εἰς τὸ μεταλαβεῖν ἀκατακρίτως τῆς ἀθανάτου*
καὶ ἐπουρανίου ταύτης τροφῆς· καὶ ἁγίασον
(6) *ἡμᾶς ὁλοτελεῖς ψυχῇ, σώματι, καὶ πνεύ-*
ματι, ἵνα μετὰ τῶν ἁγίων σου μαθητῶν καὶ
ἀποστόλων εἴπωμεν σοὶ τὴν προσευχὴν ταύ-
την, τὸ ΠΑΤΕΡ ΗΜΩΝ Ὁ ἘΝ ΤΟΙ͂C ΟΥ̓ΡΑΝΟΙ͂C,
καὶ τὰ ἑξῆς.

Ἐκφώνως. Καὶ καταξίωσον ἡμᾶς, Δέσ-
ποτα φιλάνθρωπε Κύριε, μετὰ παῤῥησίας,
ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πε-
(7) φωτισμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγι-
ασμένοις χείλεσιν, τολμᾶν ἐπικαλεῖσθαί σε,

(1) Drouard misplaced the stops, omitting *δοχεῦ*.

(2) Renaudot *αἰώνων*.

(3) D. read *δωροτὰ*, Dr Neale *δωρητὰ*.

(4) D. omitted *εἰς*.

(5) D. again omitted *εἰς*. (6) MS. *ὁλοτελῶς*.

(7) D. *ἐν ἀπαισχύντῳ*.

ROTULUS VATICANUS.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Δέσποτα Θεέ, φωτὸς γεννῆτορ, ζωῆς αἰω-
νίου ἀρχηγέ, χάριτος ποιητά, αἰωνίων θεμε-
λιῶτα, γνώσεως δωροδότα, σοφίας θησαυρέ, (a)
ἁγιωσύνης διδάσκαλε, εὐχῶν καθαρῶν δοχεῦ,
ψυχῆς εὐεργέτα, ὁ τοῖς ὀλιγοψύχοις εἰς σὲ
πεποιθόσι διδοὺς ἃ ἐπιθυμοῦσιν ἄγγελοι
παρακύψαι· ὁ ἀναγαγὼν ἡμᾶς ἐξ ἀβίσσου
εἰς φῶς, ὁ δοὺς ἡμῖν ἐκ θανάτου ζωήν, ὁ
χαρισάμενος ἡμῖν ἐκ δυλείας εἰς ἐλευθε- (sic)
ρίας, ὁ τὸ ἐν ἡμῖν σκότος τῆς ἁμαρτίας δια
τῆς παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ
λύσας, αὐτὸς καὶ νῦν, Δέσποτα Κύριε, διὰ
τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύμα- p. 82
τος, καταύγασον τοὺς ὀφθαλμοὺς τῆς δια-
νοίας ἡμῶν, εἰς τὸ μεταλαβεῖν ἀκατακρίτως
τῆς ἀθανάτου καὶ ἐπουρανίου ταύτης τρο-
φῆς· καὶ ἁγίασον ἡμᾶς ὁλοτελεῖς ψυχῇ, (b)
σώματι, καὶ πνεύματι, ἵνα μετὰ τῶν ἁγίων
σου μαθητῶν καὶ ἀποστόλων εἴπωμεν σοὶ
τὴν προσευχὴν ταύτην,

Πάτερ ΗΜΩΝ Ὁ ἘΝ ΤΟΙ͂C ΟΥ̓ΡΑΝΟΙ͂C.

Ἐκφώ. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα
φιλάνθρωπε, μετὰ παῤῥησίας, ἀκατακρί-
τως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφωτισ-
μένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις
χείλεσιν, τολμᾶν ἐπικαλεῖσθαί σε, τὸν ἐν

(a) MS. *γνώσεως δῶρα δῶματα* (*sic*).

(b) MS. *ἀξίωσον* and *ὁλοτελεῖ*.

CODEX ROSSANENSIS.

τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεόν, Πατέρα, καὶ λέγειν·

Ὁ λαός. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὁ ἱερεὺς εὔχεται. Ναί, Κύριε, Κύριε, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. οἶδεν γὰρ ἡ πολλή σου εὐσπλαγχνία, ὅτι οὐ δυνάμεθα ὑπενεγκεῖν διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν· ἀλλὰ
(1) ποίησον σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν,
fol. 58 b τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. σὺ γὰρ ἔδωκας ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

(2) Ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Δέσποτα Κύριε ὁ Θεός, ὁ παντοκράτωρ, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ· ὁ ἐξ ὑδάτων οὐρανὸν σκευάσας, καὶ τοῖς τῶν ἀστέρων
(3) χοροῖς τοῦτον κατακοσμήσας· ὁ ἐν ὑψίστοις ἀσωμάτους ἀγγέλων συστησάμενος στρατιὰς πρὸς ἀεννάους δοξολογίας· σοὶ ἐκλίναμεν τὸν αὐχένα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, τὸ τῆς δουλείας πρόσχημα σημαίνοντες, καὶ δεόμεθά σου, τὰς σκοτοειδεῖς τῆς ἁμαρτίας ἐφόδους ἐκ τῆς ἡμῶν διανοίας

ROTULUS VATICANUS.

τοῖς οὐρανοῖς ἅγιον Θεόν, Πατέρα, καὶ λέγειν·

Ὁ λαός. Πάτερ ἡμῶν. (a)

Ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Ναί, Κύριε, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. p.
οἶδεν γὰρ ἡ πολλή σου εὐσπλαγχνία, ὅτι οὐ δυνάμεθα ὑπενεγκεῖν διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν· ἀλλὰ ποίησον σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. σὺ γὰρ ἔδωκας ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλάς. (

Ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεός, ὁ παντοκράτωρ, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ· ὁ ἐξ ὑδάτων οὐρανὸν κατασκευάσας, καὶ τοῖς τῶν ἀστέρων χοροῖς τοῦτον κατακοσμήσας· σοὶ ἐκλίναμεν τὸν αὐχένα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, τὸ τῆς δουλείας πρόσχημα σημαίνοντες, καὶ δεόμεθά σου, τὰς σκοτοειδεῖς τῆς ἁμαρτίας ἐφόδους ἐκ τῆς ἡμῶν p.

(1) D. omitted τήν.

(2) D. adds τῷ Ἰησοῦ κλίνατε. ὁ λαός. Σὺ Κύριε. Neale read σοὶ Κύριε.

(3) Renaudot omitted τοῦτον.

(a) An Arabic note, "the people pray."

(b) MS. πάς.

(c) MS. μυστικόν.

ROTULUS MESSANENSIS.

τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεόν, Πατέρα, καὶ λέγειν, Πάτερ·

(1) Ναί, Κύριε. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς
πειρασμόν, Κύριε, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· οἶδεν γὰρ ἡ πολλή σου φιλανθρωπία ὅτι οὐ δυνάμεθα ὑπενεγκεῖν διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν· ἀλλὰ ποίησον σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. σὺ γὰρ δέδωκας ἡμῖν ἐξουσίαν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, φυλακτηριάσας ἡμᾶς τῷ σῷ κράτει
(sic) καὶ τῇ δυνάμει τοῦ σταυροῦ, καὶ οὐδὲν ὑμᾶς
οὐ μὴ ἀδικήσῃ.

Ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός. Ἐνώπιόν σου Κύριε.

{Δέσποτα Κύριε ὁ Θεός, ὁ παντοκράτωρ, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, καὶ δοξα-
(2) ζόμενος ὑπὸ τῶν σεραφίμ}. Ὁ Θεός, ὁ ἐξ
ὑδάτων οὐρανὸν κατασκευάσας, καὶ τοῖς τῶν ἀστέρων χοροῖς τοῦτον κατακοσμήσας· ὁ ἐν ὑψίστοις στρατιὰς οὐρανίους συστησάμενος πρὸς ἀεννάους σου δοξολογίας· σοὶ ἐκλίναμεν τὸν αὐχένα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, τὸ τῆς δουλείας πρόσχημα σημαίνοντες, καὶ δεόμεθά σου, τὰς σκο-
(3) τοειδεῖς τῆς ἁμαρτίας ἐφόδους ἐκ τῆς ἡμῶν
διανοίας ἀπέλασον, καὶ ταῖς τοῦ ἁγίου σου

LITURGIA COPTIT. SANCTI CYRILLI.

sumus, bonorum Auctor. Verum largire nobis Spiritum Sanctum tuum, ut cordibus puris et conscientiis nitidis, facieque inconfusa, fide non ficta, caritate perfecta, et spe firma, audeamus cum fiducia orare, dicendo orationem sanctam quam dilectus Filius tuus tradidit familiaribus suis, sanctis Discipulis et Apostolis,
dicens illis: Quotiescumque precari vo- p. 49
lueritis, orate in hunc modum et dicite:

PATER NOSTER QUI ES IN CAELIS, etc.

Oratio post Pater noster.

Sacerdos. Rogamus te, Deus Pater Omnipotens, ne nos inducas in tentationem, sed libera nos a malo: actiones diabolicas a nobis remove: insidias per consilia improborum hominum omnes inutiles effice. Protege nos semper dextera tua vivificante, tu qui es adjutor noster et auxiliator noster, per Christum Jesum Dominum nostrum, cui, etc.

(1) Ναὶ Κύριε interlined.
(2) The words between brackets are in the margin in a later hand.
(3) MS. κατοειδεῖς.

CODEX ROSSANENSIS.

fol. 59 ἀπέλασον, καὶ ταῖς τοῦ ἁγίου Πνεύματος θεοειδέσιν αὐγαῖς τὸν ἡμέτερον νοῦν καταφαίδρυνον, ὅπως τῇ γνώσει σου πληθυνόμενοι, ἀξίως μετάσχωμεν τῶν προκειμένων ἡμῖν ἀγαθῶν, τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχωρῶν ἡμῖν πᾶν εἶδος ἁμαρτιῶν, διὰ τὴν πολλὴν καὶ ἀνεξιχνίαστόν σου ἀγαθότητα, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ,

Δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ.

(1) Ἐκφών. Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Μετὰ φόβου Θεοῦ.

Ὁ ἱερεὺς εὔχεται.

Ἅγιε, ὕψιστε, φοβερέ, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος. σὺ γὰρ εἶπας,

fol. 59 b Δέσποτα, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμί.

(1) D. misplaced the ἐκφών.

ROTULUS VATICANUS.

διανοίας ἀπέλασον, καὶ ταῖς τοῦ ἁγίου Πνεύματος θεοειδέσιν αὐγαῖς τὸν ἡμέτερον νοῦν καταφαίδρυνον, ὅπως τῇ γνώσει σου πληθυνόμενοι, ἀξίως μετάσχωμεν τῶν προκειμένων ἡμῖν ἀγαθῶν, τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, (a)

Συγχωρῶν ἡμῖν πᾶν εἶδος ἁμαρτιῶν, διὰ τὴν πολλὴν καὶ ἀνεξιχνίαστόν σου ἀγαθότητα, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς,

Ὁ ἱερεύς. Δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα p. 45
καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Μετὰ φόβου Θεοῦ πρόσχωμεν. (b)

Εὐχὴ λεγ. καθ' ἑαυτὸν καὶ [ἐν] αὐτῇ ὑψοῖ τὸν ἄρτον.

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε, εἰς τὸ βοηθῆσαί με σπεῦσον. ὁ Θεός, ὕψωσον κέρας τῶν χριστιανῶν καὶ δέξαι τοῦ ἐμοῦ στόματος ἀκατάλειπτον ὕμνον μετὰ τῶν ἄνω δυνάμεων βοῶντος καὶ λέγοντος, Κύριε, ἐλέησον τὸν κόσμον σου.

Ὁ ἱερεὺς ἐκφών. μεγαλῇ φωνῇ.

Τὰ ἅγια τοῖς ἁγίοις.

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὕψιστε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς χάριτός σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος. σὺ γὰρ εἶπας, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμί. Κύριε ὁ Θεὸς ἡμῶν, ἀκατά- (c)

(a) An Arabic note.
(b) An Arabic note, "he elevates the body."
(c) MS. has ἀκατάλυπτε.

ROTULUS MESSANENSIS.

LITURGIA COPTIT. SANCTI CYRILLI.

(1) Πνεύματος θειοτάταις αὐγαῖς τὸν ἡμέτερον νοῦν καταφαίδρυνον, ὅπως τῇ γνώσει σου πληθυνόμενοι, ἀξίως μετάσχωμεν τῶν προκειμένων ἡμῖν ἀγαθῶν, τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, συγχωρῶν ἡμῖν πᾶν εἶδος ἁμαρτιῶν, διὰ τὴν πολλὴν καὶ ἀνεξιχνίαστόν σου ἀγαθότητα,

Ἐκφώνως. Δι' οὗ καὶ μεθ' οὗ σοί.
Εἰρήνη πᾶσιν.
Ὁ διάκονος. Μετὰ φόβου Θεοῦ πρόσχωμεν.
(2) {Ὁ ἱερεὺς ὑψοῖ τὴν προσφοράν.}

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὕψιστε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς χάριτός σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος. σὺ γὰρ εἶπας, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμί. Κύριε ὁ Θεὸς ἡμῶν, ἀκατάληπτε

(1) In the margin φωτιζόμενοι.
(2) A late addition in the margin. The words are somewhat dubious.

CODEX ROSSANENSIS.

(1) Κύριος ὁ Θεὸς ἡμῶν, ἀκατάληπτε Θεέ, Λόγε, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσιε,
(2) συναΐδιε καὶ συνάναρχε, πρόσδεξαι τὸν ἀκήρατον ὕμνον, σὺν τοῖς χερουβὶμ καὶ σεραφίμ, καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, ἐξ ἀναξίων μου χειλέων βοῶντος καὶ λέγοντος, Κύριε ἐλέησον. Γ'.

Ὁ ἱερεὺς ἐκφώνως.

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαός. Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅγιος, ἓν Πνεῦμα ἅγιον, εἰς ἑνότητα Πνεύματος ἁγίου. Ἀμήν.

Ὁ διάκονος. Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως.

Ὁ ἱερεύς, σφραγίζων τὸν λαόν, ἐκφωνεῖ.

Ὁ Κύριος μετὰ πάντων.

Καὶ κλάνει ὁ ἱερεὺς τὸν ἄρτον, καὶ λέγει.

(3) Αἰνεῖτε τὸν Θεὸν ἐν τ.

Καὶ μελίζει ὁ ἱερεύς, λέγων τοῖς παροῦσιν.

Ὁ Κύριος εὐλογήσει καὶ συνδιακονήσει,
(4) διὰ τῆς μ.

Καὶ λέγει ὁ ἱερεύς. Κελεύετε.

Ὁ κλῆρος. Τὸ Πνεῦμα τὸ ἅγιον κελεύει καὶ ἁγιάζει.

fol. 60 Ὁ ἱερεύς. Ἰδοὺ ἡγίασται καὶ τετελείωται.

Ὁ κλῆρος. Εἷς Πατὴρ ἅγιος· γ'.

Καὶ λέγει ὁ ἱερεύς.

(1) D. read Θεολόγε, which Renaudot altered to Θεοῦ Λόγε.

(2) Renaudot σύναρχε.

(3) Neale supplied τοῖς ἁγίοις καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

(4) D. supplied μεγάλης, but the Vatican Roll suggests μελίσεως.

ROTULUS VATICANUS.

ληπτε Θεέ, Λόγε, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ (a)
Πνεύματι ὁμοούσιε, συναΐδιε καὶ ἀχώριστε,
δέχου παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου p. 46
δούλου σου, ἐξ ἀναξίων χειλέων βοῶντος καὶ λέγοντος, Κύριε ἐλέησον τὸν κοσμόν σου.

Ὁ ἱερεύς. Ὁ Κύριος μετὰ πάντων ἡμῶν.

Ὁ λαός. Καὶ μετά.

Ὁ Κύριος εὐλογήσει καὶ ἁγιάσει καὶ συνδιακονήσει ἡμῖν διὰ τῆς μελίσεως τῶν ἁγίων καὶ ἀχράντων καὶ ζωοποιῶν αὐτοῦ μυστηρίων νῦν.

Ὁ ἱερεύς. Κελεύετε.

Ὁ κλῆρος καὶ ὁ λαός. Τὸ Πνεῦμα τὸ ἅγιον κελεύει καὶ ἁγιάζει. (b)

Ἰδού, ἡγίασται καὶ τετελείωται καὶ γέγονεν εἰς σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν καὶ διαδίδονται τὰ (sic)
ἅγια τοῖς ἁγίοις.

{Ὁ ἱερεύς.} Εἷς Πατὴρ {Ὁ λαός.} ἅγιος.
{Ὁ ἱερεύς.} εἷς Υἱὸς {Ὁ λαός.} ἅγιος. (c)
{Ὁ ἱερεύς.} ἓν Πνεῦμα ἅγιον {Ὁ λαός.} ἀμήν.

(a) MS. has ἀκατάλυπτε.

(b) In the margin, βαπτίζει τὸν ἄρτον εἰς τὸ ποτήριον, and an Arabic note, "he puts the Body into the cup."

(c) The words ὁ ἱερ. ὁ λαός have been added and interlined.

ROTULUS MESSANENSIS.	LITURGIA COPTIT. SANCTI CYRILLI.

Θεέ, Λόγε, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσιε, συναΐδιε, καὶ ἀχώριστε, δέχου παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, ἐξ ἀναξίων μου χειλέων βοῶντος καὶ λέγοντος.

Ἐκφών. Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαός. Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς
(1) ἅγιος, ἓν Πνεῦμα ἅγιον. Ἀμήν.

Ὁ ἱερεύς. Ὁ Κύριος μετὰ πάντων.

Ὁ διάκονος. Ἄρξαι.

Καὶ *λέγει τὸ μυστικόν.*

Εὐλογήσω τὸν Κύριον.

Ηὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς διὰ τῆς ἐγχειρήσεως καὶ μελίσεως [τῶν ἀ]χράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ αὐτοῦ μυστηρίων, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς α[ἰῶνας].

Ὁ ἱερεύς. Κελεύετε.

Ὁ διάκονος, Τὸ Πνεῦμα τὸ ἅγιον[κελεύει καὶ ἁγιάζει]

(2) *εἰς τὸ ποτήριον.*

Ἰδοὺ ἡγίασται καὶ [τετελείω]ται καὶ γέγονεν εἰς σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
(*sic*) καὶ διαδίδονται τ[ὰ ἅγια τοῖς] ἁγίοις.

Ὁ διάκονος. Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅ[γιος...]ως καὶ εἰς τὰ ποτήρια καὶ εἰς τοὺς
(3) δ[ ].

(1) Ἀμήν is recent.
(2) Apparently a rubrical direction. See the Vatican Roll.
(3) Query, *δίσκους.*

CODEX ROSSANENSIS.

῾Ο Κύριος μετὰ πάντων.

῾Ο κλῆρος. Καὶ μετὰ τοῦ πνεύματός σου.

῾Ο ἱερεὺς λέγει. Αὐτὸς ηὐλόγησεν, αὐτ.

Καὶ μεταλαμβάνει ὁ ἱερεύς.

(1) Εὐχὴ τῆς κατὰ φιλανθρωπίας. Ἄλλο.

(2) Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πη[γὰς τῶν ὕδατων].

(3) Καὶ ὅταν μεταδιδοῖ τὸν κλῆρον, λέγει·

Σῶμα ἅγιον.

Καὶ εἰς τὸ ποτήριον λέγει·

Αἷμα τίμιον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν.

Καὶ μετὰ τὸ πληρῶσαι, λέγει ὁ διάκονος·

Ἐπὶ προσευχὴν στάθ.

῾Ο ἱερεύς. Εἰρήνη πᾶσιν.

῾Ο διάκονος. Προσεύξασθε.

῾Ο ἱερεὺς εὔχεται τὴν εὐχαριστίαν.

Εὐχαριστοῦμέν σοι, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου μυστηρίων, ὧν ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ σωτηρίᾳ τῶν ψυχῶν καὶ
fol. 60 b τῶν σωμάτων ἡμῶν, καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, χάρισαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν θεο-

(1) *Sic*. Drouard printed thus: εὐχ. τῆς κατὰ φιλανθρωπίας ἄλλος. The later editions vary.

(2) Drouard ἐπὶ τῆς π.

(3) *Sic*. Neale printed τῷ κλήρῳ.

ROTULUS VATICANUS.

῾Ο Κύριος μετὰ πάντων ἡμῶν.

῾Ο λαός· Καὶ μετὰ τοῦ πνεύματος.

῾Ο ἱερεύς. Αὐτὸς ηὐλόγησεν· {Ἀμήν.} αὐ- (a)
τὸς ἡγίασεν· {Ἀμήν.} αὐτὸς δὲ ἐτελείωσεν· {Ἀμήν.} αὐτὸς καὶ μεταδιδοῖ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὅταν θέλῃ μεταλαμβάνειν λέγει· Ἄρτον (b) p. 47
ἅγιον.

Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρός σε, ὁ Θεός.

Καὶ ὅταν μεταδίδωσι·

Σῶμα ἅγιον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Αἷμα τίμιον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν.

Ἐπὶ προσευχὴν στάθητε.

῾Ο ἱερεύς. Εἰρήνη πᾶσιν.

῾Ο λαός. Καὶ τῷ πν.

Ο ἱερεὺς εὔχεται μετὰ τὴν μετάληψιν.

Εὐχαριστοῦμέν σοι, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, καὶ ἐπουρανίων σου μυστηρίων,
ὧν ἔδωκας [ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ (c)
καὶ σωτηρίᾳ τῶν ψυχῶν] ἡμῶν καὶ τῶν σωμάτων, καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, χάρισαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν θεοσεβείας, εἰς ἀπο-

(*a*) The word Ἀμὴν seems to have been interpolated.

(*b*) The line seems to be recent.

(*c*) Omitted in the MS.

ROTULUS MESSANENSIS.

Καὶ εἶθ' οὕτως βαπτίζει γ' μερί[δας ...]
[Ὁ Κύριος με]τὰ πάντων.

Ὁ λαός. Καὶ μετὰ [τοῦ πνεύματος].

Αὐτὸς ἡγίασεν, αὐτὸς καὶ ἐτελείωσεν [... ......] ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος. Πρεσβύτεροι, προσέλθετε. Κοινωνικ[οι,......]νητον.

(1) Δεσποτικοὶ......

(2) Εὐχὴ ὅτε μέλλει ὁ ἱερεὺς μεταλαμβάνειν.

Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρ[τος, ἡ ζωὴ] τοῦ παντὸς κόσμου, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὔκ εἰμι ἄξιος [μεταλαβεῖν τῶν] ἁγίων καὶ ἀχράντων σου μυστηρίων, ἀλλ' ὡς εὔσπλαγχνος Θεὸς ἀξίωσόν με [τῇ χάριτί σου ἀ]κατακρίτως μετασχεῖν τοῦ ἁγίου σου σώματος καὶ αἵματος, εἰς ἄφεσιν ἁ[μαρτιῶν καὶ ζωὴν αἰ]ώνιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Τὴν ἐκτενὴν καὶ μετα[λαβὼν λέγ]ει.

Ὑψώθητι ἐπὶ τοὺς [οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσα]ν τὴν [γῆν......εἰς] τοὺς αἰῶνας τῶν αἰώνων......

(*Caetera desunt.*)

LITURGIA COPTIT. SANCTI CYRILLI.

Oratio inclinationis ad Patrem. p. 50

Sacerdos. Deus qui ita nos dilexisti, dedistique nobis dignitatem filiorum, ut filii Dei vocaremur et essemus, haeredes quidem tui, Deus Pater, cohaeredes autem Christi tui; inclina aures tuas, et audi nos prostratos coram te: et purifica hominem nostrum interiorem, secundum sanctitatem Filii tui unigeniti, quem suscipere animo designamus; fugiantque a nobis fornicatio et omnis cogitatio immunda propter Deum qui ex Virgine (natus est); gloriatio et malum antiquum quod est superbia, propter eum qui humiliavit semetipsum pro nobis; timor, propter eum qui passus est in carne propter nos et erexit victoriam crucis; vana gloria, propter eum qui verberatus et flagellatus est pro nobis, et non avertit faciem suam a confusione sputorum; invidia, homicidium, dissensio, et odium, propter agnum Dei qui abstulit peccatum mundi; ira et injuriarum recordatio, propter eum qui affixit cruci chirographum peccatorum nostrorum. Fugiant daemones et diabolus, propter eum qui principes malitiae disjecit et potestates tenebrarum palam triumphavit. Omnes cogitationes malas et terrenas procul rejiciamus a nobis, propter eum qui ascendit ad caelos, ut ita purificemur et percipiamus haec

(1) δεσποτικοὶ is in the later handwriting.
(2) Seems also to be recent.

CODEX ROSSANENSIS.

(1) *σεβείας, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου·* Ἐκφώνως. *Δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ.*

Εἶτα ὁ ἱερεὺς στρέφεται πρὸς τὸν λαόν, λέγων·

(2) *Ἄναξ μέγιστε, καὶ τῷ Πατρὶ συνάναρχε,
ὁ τῷ σῷ κράτει τὸν ᾅδην σκυλεύσας, καὶ τὸν
θάνατον πατήσας, καὶ τὸν ἰσχυρὸν δεσμεύ-
σας, καὶ τὸν Ἀδὰμ ἐκ τάφου ἀναστήσας τῇ
θεουργικῇ σου δυνάμει καὶ φωτιστικῇ αἴγλῃ
τῆς σῆς ἀῤῥήτου θεότητος, αὐτός, Δέσποτα,
fol. 61 διὰ τῆς μεταλήψεως τοῦ ἀχράντου σου σώ-
ματος καὶ τοῦ τιμίου σου αἵματος ἐξαπό-
στειλον τὴν ἀόρατόν σου δεξιάν, τὴν πλήρη
εὐλογιῶν, καὶ πάντας ἡμᾶς εὐλόγησον, οἰκτεί-
ρησον, σθένωσον τῇ θεϊκῇ σου δυνάμει, καὶ
περίελε ἀφ' ἡμῶν τὴν κακοηθῆ καὶ ἁμαρτάδα
σαρκικῆς ἐπιθυμίας ἐργασίαν· καταύγασον
sic τοὺς νοητοὺς ἡμῶν ὀφθαλμοὺς τῆς περικει-
μένης ζοφερᾶς ἀνομίας, σύναψον ἡμᾶς τῷ
(3) παμμακαρίστῳ τῶν εὐαρεστησάντων σοι
συλλόγῳ, ὅτι διὰ σοῦ καὶ σὺν σοὶ τῷ
Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι πᾶς ὕμνος
πρέπει, τιμή, κράτος, προσκύνησίς τε καὶ
εὐχαριστία, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων.*

Ὁ διάκονος. *Πορεύεσθε ἐν εἰρήνῃ.*

Ὁ λαός. *Ἐν ὀνόματι Κυρίου.*

Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, ἡ χάρις

(1) D. omitted *παντός.*
(2) Renaudot again altered *συνάναρχε* to *σύναρχε.*
(3) Dronard *τῷ εὐαρεστήσαντι.*

ROTULUS VATICANUS.

τροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν p. 48
ἐντολῶν σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου, χάριτι καὶ οἰκτιρμοῖς.

Δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ.

Ὁ λαός· *Ἀμήν. πληρωθείη.* (a)

Ὀρθοὶ μεταλαβόντες.

Ὁ ἱερεὺς ἐκφών.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

Ὁ ἱερεὺς ✠ εὐχὴ ✠ ὀπισθάμβωνος·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ

(a) MS. *πληρωθοιτ.* In the next line the MS. has *ὀρθοὶ εἰ μεταλαβωντ.* I have, however, taken the words from the Liturgy of S. Chrysostom.

ROTULUS MESSANENSIS.

(*Mutilus.*)

LITURGIA COPTIT. SANCTI CYRILLI.

mysteria pura, et perfecte purificati simus in animabus, corporibus, et spiritibus nostris: adeo ut participes simus corporis, sicut et formae, et partis Christi tui, etc.

Alia Oratio gratiarum actionis.

Quam benedictionem aut quam laudem aut quam gratiarum actionem possumus retribuere tibi, O Deus amator hominum, quod cum essemus projecti per judicium mortis demersique in profundo peccati, concessisti nobis libertatem largitusque es nobis hunc cibum immortalem et caelestem: manifestastique nobis hoc mysterium, prorsus absconditum a saeculis et generationibus, ut appareat nunc principatibus et potestatibus caelestibus ex Ecclesia multiplex sapientia tua? Deus, qui opera nostra gubernas per sapientiam, dignare ut comprehendamus hanc clementiam summam tuam et magnitudinem paternae erga nos curae tuae benignitatisque tuae. Vere tu es cui debetur omnis gloria, majestas, honor et imperium, ante omnia saecula, Pater, Fili, et Spiritus Sancte: nunc, etc.

CODEX ROSSANENSIS.

τοῦ Υἱοῦ, Κυρίου δὲ ἡμῶν, Ἰησοῦ Χριστοῦ,
fol. 61 b ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ παναγίου Πνεύματος, εἴη μετὰ πάντων ἡμῶν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλ.

Ὁ ἱερεὺς εὔχεται ἐν τῷ διακονικῷ, λέγων·

Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ· δὸς ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῷ βίῳ, καὶ ὁδήγησον εἰς τὴν τελείαν ἀπολύτρωσιν καὶ υἱοθεσίαν, καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις. σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Καὶ ἀπολύει, λέγων·

(1) Εὐλόγηται ὁ Θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ σκέπων καὶ διατηρῶν πάντας ἡμᾶς διὰ τῆς μεθέξεως τῶν ἁγίων αὐτοῦ μυστηρίων, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Drouard εὐλογείτω.

ROTULUS VATICANUS.

ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς καὶ διδοὺς ζωὴν τῷ κόσμῳ, ὁ ζωοποιῶν, ἀποφήνας τὸ ἅγιόν σου σῶμα, εἰπών· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ, ὁ δεδωκὼς ἡμῖν θυσιαστήριον, ἀσύγκριτος, ὑπέρειχες ὑψηλότερον, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ καθ' ἑκάστην σφαγιαζόμενος καὶ τοῖς πιστοῖς ἐπὶ σωτηρίᾳ διαδιδόμενος καὶ μένων διαπαντὸς ἀδάπανος, εὐλόγησον πάντας ἡμᾶς, Δέσποτα, τοὺς καταξιωθέντας τὰ νῦν τῆς τῶν ἀχράντων σου μυστηρίων μυστικῆς μεταλήψεως, κλίνοντάς σοι τοὺς ἑαυτῶν αὐχένας· χάρισαι ἡμῖν δι' αὐτῶν τῶν ἐν τῷ παρεσχηκότι πταισμάτων τὴν ἄφεσιν καὶ τὴν ἐν ταῖς ἐντολαῖς σου πρὸς τὸ ἑξῆς εὐδοκίμησιν· ἁγίασον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα, φύλαξον ἄσπιλον τὴν ψυχὴν σὺν τῷ σώματι, τοὺς πεπλανημένους ἐπίστρεψον, τοὺς ἐν γήρᾳ συμπαθὴς ὑποστήριξον, τοὺς ἐν νεότητι κυβέρνησον, τοὺς ἐν πτωχείᾳ διάθρεψον, τοὺς ἐν ἀσθενείᾳ δυνάμωσον, τοὺς ἐν ἀνάγκαις ἐπίσκεψαι, τοὺς ἐν πάσῃ θλίψει παρακάλεσον, τῶν βασιλέων ἡμῶν τὸ κέρας ὕψωσον, τὸν στρατὸν ἐνίσχυσον τῇ κραταιᾷ δυνάμει τοῦ σωτηρίου σου, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν.

Ὁ ἱερεύς. Εὐ[λογεῖτε] τὸ ὄνομα Κυρίου.

Εὐχ. τῆς ἀπολύσεως.

Εὐλογείτω ὁ Θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ σκέπων καὶ διατηρῶν πάντας ἡμᾶς διὰ

(a) I am obliged to leave this as in the MS.

[The Liturgies of St Basil and St Chrysostom and of the Presanctified admit of a treatment different from that which I have followed in the Liturgy of Alexandria. In the Barberini MS. of the eighth or ninth century we have the earliest extant copies: the Rossano MS. furnishes an early transcript of the other two. We have several manuscripts (chiefly fragmentary) of the thirteenth and fourteenth centuries: they were printed by Demetrius Ducas in 1526 and have been frequently printed since that date. The Barberini MS. has unhappily lost eight leaves in "St Basil," but the differences between the surviving portions and the mediæval copies are such as enable us to represent with full confidence the character of the portion lost, and this I have done, following in part the guidance of Bunsen, as furnished in his work on "Hippolytus and his Age," Vol. IV. 387—434, and in his "Analecta Antenicæna," Vol. III. 201—236.

It would appear that the prayers of the eighth century have been retained with few changes to the present date. I have therefore first printed these prayers at length, and then I have exhibited the Liturgies as they were used in mediæval times, and the alterations which have been subsequently introduced.

In the older MSS. (the Rossano and Barberini Codices), as well as in Morel's edition, the Liturgy of Saint Basil preceded that named after Saint Chrysostom. I have followed the same order for the earlier copies: but, because of the subordinate position of "St Basil" in later times, and the continual references made in the more modern copies from "St Basil" to "St Chrysostom," I have found it necessary in them to give the prior place to "St Chrysostom."

In the Barberini MS. the Liturgy of Saint Chrysostom is introduced without any title, and the numbering of the Collects follows consecutively on the numbers of those in Saint Basil. C. R. here denotes the variations of the Codex Rossanensis. This copy, though probably made in the twelfth century, undoubtedly preserves a very early copy.]

LITURGIES OF SAINT BASIL

AND OF

SAINT CHRYSOSTOM,

AND THE

LITURGY OF THE PRESANCTIFIED.

[EIGHTH OR NINTH CENTURY.]

LITURGY OF SAINT BASIL.

BARBERINI MANUSCRIPT.

✠ λειτουργία τοῦ ἁγίου Βασιλείου.

Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς ἐν τῷ σκευοφυλακίῳ, ἀποτιθεμένου τοῦ ἄρτου ἐν τῷ δίσκῳ.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ
p. 2 *φιλάνθρωπος τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων,*

Ἐκφώνως. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός.

(a) *Εὐχὴ ἀντιφώνου α'.*

B'. *Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτός, δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον*
p. 3 *οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου,*

BARBERINI MANUSCRIPT.

Ἐκφών. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ. (b)

Εὐχὴ ἀντιφώνου β'.

Κύριος ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν Γ'.
σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκατα- p. 4
λίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ,

Ἐκφών. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ.

Εὐχὴ ἀντιφώνου γ'.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους Δ'.
ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι p. 5
ζωὴν αἰώνιον χαριζόμενος,

Ἐκφών. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν.

Εὐχὴ τῆς εἰσόδου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατα- E'.
στήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατείας

(a) The collects are numbered in the Manuscript.

(b) MS. τοῦ Πατρὸς, καί.

BARBERINI MANUSCRIPT.

ἀγγέλων καὶ ἀρχαγγέλων πρὸς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα,

Ἐκφών. Ὅτι πρέπει σοι.

p. 6 Εὐχὴ τοῦ τρισαγίου.

ς'. Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, δέσποτα, [πρόσδεξαι] καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰώνων σοι εὐαρεστησάντων,

BARBERINI MANUSCRIPT.

Ἐκφών. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Εὐχὴ τῆς ἄνω καθέδρας. (a)

Δέσποτα Κύριε, Θεὸς τῶν δυνάμεων, σῶσον τὸν λαόν σου καὶ εἰρήνευσον αὐτὸν τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, διὰ τοῦ τύπου τοῦ τιμίου σου σταυροῦ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ζ'. p. 9

Εὐχὴ τῆς ἐκτενῆς τοῦ Κύριε ἐλέησον.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆν ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος, Η'. p. 10

Ἐκφών. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοί.

Εὐχὴ κατηχουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον καὶ ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου. δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς μέλη τῆς ἁγίας σου ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, Θ'. p. 11

Ἐκφών. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον.

(a) This prayer has been omitted for many centuries in the Greek Church. (It is retained in R.) Its disuse must have been contemporaneous with the change of position in the consecrating priest.

BARBERINI MANUSCRIPT.

Εὐχὴ πιστῶν α' μετὰ τὸ ἀπλωθῆναι τὸ εἰλητόν.

Γ'. Σύ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς
p. 12 τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου προσάγωμέν σοι θυσίαν αἰνέσεως. σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· δός, Κύριε, καὶ ὑπὲρ τῶν [ἡμετέρων] ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν καὶ εὐπρόσδεκτον ἐνώπιόν σου,

Ἐκφών. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ Πατρί.

Εὐχὴ πιστῶν β'.

ΙΑ'. Ὁ Θεός, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ
p. 13 οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, ὁ στήσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων,

Ἐκφών. Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι σοὶ δόξαν.

BARBERINI MANUSCRIPT.

Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς ὑπὲρ ἑαυτοῦ, τῶν χερουβικῶν λεγομένων.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς II
σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρόσιτον· ἀλλ' ὅμως, διὰ τὴν σὴν ἄφατον φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας, ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ δεσπόζεις τῶν ἐπουρανίων καὶ ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ ἱκάνωσον με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. σοὶ γὰρ κλίνω τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι τὰ δῶρα ταῦτα καὶ ὑπ' ἐμοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ ἁγιάζων καὶ

(a) The words καὶ ἁγιάζων καὶ ἁγιαζόμενος were altered before the twelfth century to καὶ προσδεχόμενος καὶ διαδιδόμενος. See the note and collations below.

BARBERINI MANUSCRIPT.

ἁγιαζόμενος, Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ.

p. 17 Εὐχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Βασιλείου μετὰ τὸ πληρῶσαι τὸν ᾄδοντα λαὸν τὸν μυστικὸν ὕμνον.

ΙΓ'. (a) Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας καὶ ἀγαγὼν ἡμᾶς εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου. εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ
18 σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος. ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς· ἔπιδε, ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως καὶ ἐκ

BARBERINI MANUSCRIPT.

τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου, Κύριε· ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν φρονίμων οἰκονόμων, p. 20
ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας,

Ἐκφών. Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.

Καὶ μετὰ τὸ Ἀμήν, ὁ ἱερεύς· Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους.

Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην, ὁ διάκονος λέγει·

Τὰς θύρας· τὰς θύρας· πρόσχωμεν.

Ὁ λαός. τὸ Πιστεύω.

Καὶ μετὰ τὸ Πιστεύω λέγει ὁ διάκονος·

Στῶμεν καλῶς.

Ὁ ἱερεύς.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας. p. 21

Ὁ λαός. Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ λαός. Ἄξιον καὶ δίκαιον.

Καὶ ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς.

Ὁ Ὤν, Δέσποτα, Κύριε, Θεέ, Πατὴρ

(a) No prayer, after this, is numbered in the MS. until the last, Ἤνυσται καὶ τετέλεσται, which is marked ΙΔ'.

BARBERINI MANUSCRIPT.

παντοκράτωρ, προσκυνητέ, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεόν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως,
p. 22 τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου; ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου; ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα, Δέσποτα τῶν [ἁπάντων,] Κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλ-
p. 23 λοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος, τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινός, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινόν, παρ' οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν,
p. 24 ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά. σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξου-

BARBERINI MANUSCRIPT.

σίαι, δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, καὶ ταῖς δυσὶ τοὺς πόδας, p.
καὶ ταῖς δυσὶ πετόμενα κέκραγεν ἕτερον πρὸς ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις θεολογίαις,

Ἐκφώνως. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ λαός. Ἅγιος.

Ὁ ἱερεὺς μυστικῶς λέγει.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσιν τοῖς ἔργοις σου, ὅτι p.
ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας αὐτόν, τέθεικας αὐτὸν ἐν παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ. ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτόν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις p.
αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας αὐτὸν εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου. οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος,

BARBERINI MANUSCRIPT.

ὃ ἐποίησας, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργα
χειρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως
διὰ σπλάγχνα ἐλέους σου, προφήτας
p. 28 ἐξαπέστειλας, ἐποίησας δυνάμεις διὰ τῶν
ἁγίων σου τῶν καθ' ἑκάστην γενεὰν εὐα-
ρεστησάντων σοι, ἐλάλησας ἡμῖν διὰ
στόματος τῶν δούλων σου τῶν προφητῶν
προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔ-
σεσθαι σωτηρίαν, νόμον ἔδωκας εἰς βοή-
θειαν, ἀγγέλους ἐπέστησας φύλακας. ὅτε
δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας
ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι' οὗ καὶ τοὺς
αἰῶνας ἐποίησας· ὅς, ὢν ἀπαύγασμα τῆς
p. 29 δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου,
φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως
αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι
ἴσα σοὶ τῷ Θεῷ καὶ Πατρί, ἀλλὰ Θεὸς
ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη καὶ
τοῖς ἀνθρώποις συνανεστράφη· καὶ ἐκ παρ-
θένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτόν,
μορφὴν δούλου λαβών, σύμμορφος γενό-
μενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν,
ἵνα καὶ ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος
τῆς δόξης αὐτοῦ. ἐπειδὴ γὰρ δι' ἀνθρώ-
p. 30 που ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον
καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν
ὁ μονογενής σου Υἱός, ὁ ὢν ἐν τοῖς κόλ-
ποις σοῦ τοῦ Θεοῦ καὶ Πατρός, γενόμενος
ἐκ γυναικός, τῆς ἁγίας θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον,
κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ
αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες
ζωοποιηθῶσιν ἐν αὐτῷ, τῷ Χριστῷ σου·

BARBERINI MANUSCRIPT.

καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς
προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς
τῆς πλάνης τῶν εἰδώλων, προσήγαγεν ἡμᾶς p. 31
τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ
Πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν
περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος
ἅγιον· καὶ καθαρίσας ἡμᾶς ἐν ὕδατι, καὶ
ἁγιάσας τῷ Πνεύματι τῷ ἁγίῳ, ἔδωκεν
ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ
κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν·
καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν
ᾅδην, ἵνα πληρώσῃ ἑαυτῷ τὰ πάντα, ἔλυσε
τὰς ὠδῖνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ (a)
τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ p. 32
τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν
δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν
ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν
κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν,
ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσιν πρωτεύων·
καὶ ἀνελθὼν εἰς τοὺς οὐρανούς, ἐκάθισεν ἐν
δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς·
ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα
αὐτοῦ. Κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ
σωτηρίου αὐτοῦ πάθους, ταῦτα, ἃ προτε-
θείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων B. M. Additional MS.
γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον 22749.
καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ
παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ
καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ
τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογή-
σας, ἁγιάσας, κλάσας,

Ἐκφών. Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθη-

(a) MS. ὠδῖνας. The editions have ὀδύνας

FROM BRITISH MUSEUM 22749.

ταῖς καὶ ἀποστόλοις, εἰπών· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Ἐκφών. Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε.

Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας,

Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα, καὶ διὰ πάντα,

Ὁ λαός. Σὲ ὑμνοῦμεν [σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε].

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, οὐ γὰρ ἐποιήσαμεν ἐνώπιόν σού τι ἀγαθὸν

FROM BRITISH MUSEUM 22749.

ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαῤῥοῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, Ἅγιε Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι

Καὶ ἀνιστάμενος σφραγίζει τριτὸν τὰ δῶρα, λέγων,

Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς. Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς. Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς. Ἡμᾶς δὲ πάντας, τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν,

FROM BRITISH MUSEUM 22749.

καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμιεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι· τῶν ἐν βήμασι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πικραῖς δουλείαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς, καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεός, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων,

FROM BRITISH MUSEUM 22749.

ἡ ἐλπὶς τῶν ἀπηλπισμένων. ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ, [καὶ τὸν] οἶκον, καὶ τὴν χρείαν αὐτοῦ. καὶ ῥῦσαι, Κύριε, τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Ἐκφώνησις.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος)· ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύον[τα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.]

Ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων.

Ὁ δὲ ἱερεὺς εὔχεται.

Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Barl

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων. Cod sum

Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον. ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε· ἐπιφάνηθι ἡμῖν τοῖς

(a) The MS. has ποίμνην.

BARBERINI MANUSCRIPT.

πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτους καὶ
ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμ-
βρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν
δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνι-
αυτοῦ τῆς χρηστότητός σου Κύριε· παῦσον
τὰ σχίσματα τῶν ἐκκλησιῶν· σβέσον τὰ
φρυάγματα τῶν ἐθνῶν· τὰς τῶν αἱρέσεων
ἐπαναστάσεις ταχέως κατάλυσον ἐν τῇ
δυνάμει τοῦ ἁγίου σου Πνεύματος· πάντας
ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου,
p. 85 υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας·
τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην
χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα
γὰρ ἀπέδωκας ἡμῖν·

Ἐκφών. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ τοῦ διακόνου ποιοῦντος τὴν μέσην εὐχήν, ἐπεύχεται ὁ ἱερεύς.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἡμᾶς ἐπιτελεῖν ἁγιω-

BARBERINI MANUSCRIPT.

σύνην ἐν φόβῳ σου· ἵνα ἐν καθαρῷ τῷ
μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδε-
χόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου,
ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ
Χριστοῦ σου· καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως,
σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς p. 87
καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ ἁγίου
σου Πνεύματος. ναί, ὁ Θεὸς ἡμῶν, καὶ
μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν
σου τούτων καὶ ἐπουρανίων μυστηρίων,
μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι ἐκ τοῦ
ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δὸς
ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς
ἀξίως ὑποδέχεσθαι τὴν ἐλπίδα τῶν ἁγιασ-
μάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς
ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φο-
βεροῦ βήματος τοῦ Χριστοῦ σου· ὅπως p. 88
ἂν καὶ ἡμεῖς, μετὰ πάντων τῶν ἁγίων τῶν
ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα
μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν ὧν ἡτοί-
μασας τοῖς ἀγαπῶσί σε, Κύριε·

Ἐκφών. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεόν, Πατέρα, καὶ λέγειν,

Ὁ λαὸς τό, Πάτερ ἡμῶν.

Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός.

Καὶ μετὰ τὸ Ἀμὴν λέγει ὁ ἱερεύς,

Εἰρήνη πᾶσιν.

Καὶ τοῦ διακόνου λέγοντος Τὰς κεφαλὰς ἡμῶν, (a)
ἐπεύχεται ὁ ἱερεύς.

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν p. 89

(*a*) Bunsen accidentally omitted these lines.

BARBERINI MANUSCRIPT.

καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων τούτων καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος ἁγίου κοινωνίαν,

p. 40 (a) Ἐκφώνως. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ [μονογενοῦς σου Υἱοῦ...].

(a) [Εὐχὴ] τῆς ὑψώσεως τοῦ ἄρτου.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀοράτως παρών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

(b) *Καὶ μετὰ τὸ εἰπεῖν τὸν διάκονον*, Πρόσχωμεν, *ὁ ἱερεὺς ὑψοῖ τὸν ἅγιον ἄρτον καὶ λέγει,*

ΤΑ ἍΓΙΑ ΤΟΙ͂C ἉΓΙΟΙC.

Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ ΕἿC ἍΓΙΟC,

λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδας καὶ βάλλει εἰς τὰ ἅγια ποτήρια καὶ λέγει,

p. 41 Εἰς πλήρωμα Πνεύματος ἁγίου.

Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διακόνου τὴν εὐχήν, ἐπεύχεται ὁ ἱερεύς.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου μυστηρίων, ὧν ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ

BARBERINI MANUSCRIPT.

καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων. αὐτός, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς p. 42
πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου,

Ἐκφών. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, [καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.]

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν.

Εὐχὴ ὀπισθάμβωνος.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. p. 43
τὸ πλήρωμα τῆς ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ. εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ λαῷ σου. ὅτι ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ σκευοφυλακίου. p. 44

Ἤνυσται, καὶ τετέλεσται, ὅσον εἰς τὴν ΙΔ'.

(a) Bunsen accidentally omitted these lines.
(b) Bunsen read this; *καὶ μετὰ τὸ εἰπεῖν·* Τὸν δίσκον πρόσχωμεν, but the MS. is decisive.

BARBERINI MANUSCRIPT.

ἡμετέραν δύναμιν, πάντα ἅπερ ἔθου ἡμῖν τὰ τῆς ἀφθαρσίας μυστήρια· ηὕραμεν τοῦ θανάτου σου τὴν μνήμην, εἴδαμεν τῆς ἀναστάσεώς σου τὸν τύπον, ἐνεπλήσθημεν τῆς ἀκενώτου σου τρυφῆς, ἀπηλαύσαμεν τῆς ἀτελευτήτου σου ζωῆς, ἧς καὶ

BARBERINI MANUSCRIPT.

ἐν τῷ μέλλοντι [αἰῶνι] πάντας ἡμᾶς τυχεῖν καταξίωσον, Χριστέ, ὁ Θεὸς ἡμῶν, ὅτι πρέπει σοι πᾶσα εὐχαριστία σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

LITURGY OF SAINT CHRYSOSTOM.

BARBERINI MANUSCRIPT.

IE'. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ προθεὶς ἑαυτὸν
(a) p. 44 ἀμνὸν ἄμωμον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς·
ἔφιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἄρτον τοῦτον καὶ
ἐπὶ τὸ ποτήριον τοῦτο, καὶ ποίησον αὐτὸ
ἄχραντόν σου σῶμα καὶ τίμιόν σου αἷμα, εἰς
μετάληψιν ψυχῶν καὶ σωμάτων· ὅτι ἡγίασται
καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλο-
πρεπὲς ὄνομά σου, Πατρός.

Εὐχὴ τῆς εἰσόδου.

Iϛ'. Εὐεργέτα καὶ τῆς κτίσεως πάσης Δη-
p. 46 μιουργέ, πρόσδεξαι προσιοῦσαν τὴν ἐκκλη-
σίαν καὶ ἑκάστου τὸ σύμφερον ἐκπλήρωσον·
καὶ ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους
ἡμᾶς ἀπέργασαι τῆς βασιλείας σου· χάριτι
καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονο-
γενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ.

Εὐχὴ τοῦ τρισαγίου.

IZ'. Ἅγιε ἁγίων, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἅγιος,
καὶ ἐν ἁγίοις ἀναπαυόμενος· ἅγιος ὑπάρχεις,
ὁ τὴν ἀνυπέρβλητον δόξαν ἐν αὐτῷ κεκτη-
μένος· ἅγιος ὁ Θεός, ὁ λόγῳ τὰ πάντα
p. 47 συστησάμενος· ἅγιος ὁ Θεός, ὃν τὰ τετρά-
μορφα ζῶα ἀκαταπαύστῳ φωνῇ δοξάζουσι·
ἅγιος ὁ Θεός, ὁ ὑπὸ πλήθους ἁγίων ἀγγέλων

BARBERINI MANUSCRIPT.

καὶ ἀρχαγγέλων ἄφραστα τρεμόντων προσ-
κυνούμενος καὶ δοξολογούμενος· ἅγιος ὁ
Θεός, ὁ τοῖς πολυόμμασι Χερουβὶμ τῇ
ἀσιγήτῳ φωνῇ τῷ ἀκοιμήτῳ ὄμματι ἐπι- (sic)
βλέπων καὶ ἐπικλίνων τὸ οὖς σου· ἅγιος ὁ
Θεός, ὁ τοῖς ἑξαπτερύγοις Σεραφὶμ ἐποχού-
μενος, καὶ κροτούντων τὰς ἑαυτῶν πτέρυγας
καὶ τὸν ἐπινίκιον ὕμνον ὑμνούντων τὸ Ἅγιος,
Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ, ὁ προσ- p. 48
δεχόμενος. ἅγιος γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐν
ἀρχαὶ καὶ ἐξουσίαι [καὶ] κυριότητες ἐν οὐρανῷ
προσκυνοῦσιν, καὶ ἐπὶ γῆς ἄνθρωποι ἀνυμ-
νοῦσιν καὶ σέβουσιν. αὐτός, φιλάνθρωπε,
πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρ-
τωλῶν τὸν τρισάγιον ὕμνον προσφερόμενον
παρ' ἡμῶν καὶ παρὰ παντὸς τοῦ λαοῦ σου,
καὶ κατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη καὶ
τοὺς οἰκτιρμούς σου· πρεσβείαις τῆς ἁγίας p. 4[illegible]
θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ'
αἰῶνός σοι εὐαρεστησάντων·

Ἐκφών. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ
ἐν ἁγίοις ἐπαναπαύει, καὶ σοὶ τὴν δόξαν
ἀναπέμπομεν.

Εὐχὴ τῆς καθέδρας τοῦ θυσιαστηρίου.

(a) This Liturgy has no distinctive title in the MS. See p. 77. The Rossano MS. however, p. 18, has Ἡ *θεία*...*Χρυσοστόμου*: but it does not contain the first five prayers given above. The numbers in square brackets refer to the folios of this MS.

BARBERINI MANUSCRIPT.

ΙΗ'. Δέσποτα Κύριε, Θεὸς τῶν δυνάμεων, *as on page* 77.

ΙΘ'. Εὐχὴ τῆς ἐκτενῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν *as on page* 77.

[18] Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς,
(a) τοῦ Χρυσοστόμου.

Κ'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν
p. 51 Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑπο-
18 b] κεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ
(b) καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ·

Ἐκφών. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς [ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.]

Εὐχὴ πιστῶν α'. μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν.

ΚΑ'. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν

(a) – τοῦ Χρυσοστόμου Rossano Codex.
(b) τοῦ λουτροῦ τῆς παλιγ. C. R.

BARBERINI MANUSCRIPT.

ἡμῶν, καὶ ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους, ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν [19]
διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ p. 53
Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν ἔσῃ ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος·

Ἐκφών. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, [τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.]

Εὐχὴ πιστῶν β'.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, ΚΒ'.
καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· p. 54
καὶ δῴς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν (d)
παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ [19 b]
φόβου καὶ ἀγάπης λατρεύοντάς σοι ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι·

Ἐκφών. Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν.

(c) The first words only of the doxology are given in the MSS.
(d) δῴης C. R.

BARBERINI MANUSCRIPT.

p. 55 Εὐχὴ τῆς προσκομιδῆς, τοῦ ἁγίου Ἰωάννου τοῦ
(a) Χρυσοστόμου, μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον.

ΚΓ'. Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος
(b) ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεων παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρα καὶ θυσίας πνευματικάς, ὑπὲρ τῶν ἡμετέ-
p. 56 ρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου τοῦ γενέσθαι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ'
[20] ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου·

Ἐκφών. Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς [εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας].

(c) Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους.

Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην, λέγει ὁ διάκονος· Τὰς θύρας· τὰς θύρας· πρόσχωμεν.

Ὁ λαὸς τὸ Πιστεύω λέγει.

BARBERINI MANUSCRIPT.

Ὁ διάκονος. Στῶμεν καλῶς. p. 57

Ὁ λαός. Ἔλεος, εἰρήνη.

Ὁ ἱερεὺς λέγει.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός. Ἔχωμεν πρὸς τὸν Κύριον. (d)

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός. Ἄξιον καὶ δίκαιον. (e)

Ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς. (f)

Ἄξιον καὶ δίκαιον, σὲ ὑμνεῖν, σοὶ εὐχα- (g)
ριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς [20 b]
δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ
ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου p. 58
Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν,
τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν σου p.
τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν

(a) For this Rubric C. R. has only Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν δώρων ἀπόθεσιν.

(b) αἰνέσεως C. R.

(c) For the next eleven lines C. R. has the following:—εἶτα τοῦ ἱεροῦ τῆς πίστεως μαθήματος ὑπὸ τοῦ λαοῦ ἀναφωνηθέντος, καὶ τοῦ διακόνου εἰπόντος Στῶμεν καλῶς, καὶ τοῦ λαοῦ διαμειβομένου τῇ ἐπιφωνήσει τοῦ Ἔλεον, εἰρήν. ὁ ἱερεὺς ἐκφωνεῖ, Ἡ χάρις, κ.τ.λ.

(d) Ὁ λαός. C. R.

(e) Ὁ λαός. C. R.

(f) Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται. C. R.

(g) σὲ ὑμνεῖν, σὲ εὐλογεῖν C. R.

BARBERINI MANUSCRIPT.

σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν
ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι καταξίωσον,
καίτοι σοι παρεστήκεισαν χιλιάδες ἀρχαγ-
γέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβίμ,
[21] καὶ τὰ Σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα,
μετάρσια, πτερωτά,

(a) Ἐκφών. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα.

Ὁ δὲ ἱερεὺς μυστικῶς.

(b) Μετὰ τούτων καὶ ἡμεῖς τῶν δυνάμεων,
Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγο-
p. 60 μεν· Ἅγιος εἶ καὶ πανάγιος, καὶ ὁ μονο-
γενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ
ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγα-
λοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου
οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν
μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς
αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον·

Ὃς ἐλθών, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν
οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδου
(c) ἑαυτόν, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ
καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχα-
(d) p. 61 ριστήσας καὶ εὐλογήσας, ἔκλασεν καὶ ἔδωκεν
[22 b] τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις,
εἰπών·

(e) Ἐκφών. Λάβετε, φάγετε· τοῦτ' ἐστὶν τὸ
σῶμά μου, τὸ ὑπὲρ ὑμῶν.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆ-
(f) σαι, λέγων·

BARBERINI MANUSCRIPT.

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτ' ἐστὶν τὸ
αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ
ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν
ἁμαρτιῶν. Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς μυστικῶς. (g)

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης
ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενη-
μένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριη-
μέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνα- p. 62
βάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας
καὶ ἐνδόξου πάλιν παρουσίας,

Ἐκφών. Τὰ σὰ ἐκ τῶν σῶν προσφέροντες
κατὰ πάντα, καὶ διὰ πάντα,

Ὁ λαός. Σὲ ὑμνοῦμεν.

Ὁ ἱερεὺς μυστικῶς λέγει. (h)

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην
καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν
καὶ δεόμεθα καὶ ἱκετεύομεν, Κατάπεμψον
τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ
τὰ προκείμενα δῶρα ταῦτα, [23]

Καὶ ἀνιστάμενος σφραγίζει, λέγων μυστι- (i)
κῶς,

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον p. 63
σῶμα τοῦ Χριστοῦ σου,

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. (k)
Ἀμήν.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα
τοῦ Χριστοῦ σου, (l)

(a) +Ὁ λαός. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος. ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται. C. R.

(b) μακαρίων δυνάμεων C. R.

(c) ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς C. R.

(d) ἁγίασας κλάσας ἔδωκε C. R.

(e) τοῦτό μου ἐστὶ τὸ σῶμα. Ὁ λαός. Ἀμήν. Ὁ ἱερεὺς κλινόμενος λέγει· C. R.

(f) ἐκφώνως C. R. It again gives only the leading words of Institution, τοῦτο ἐστὶ τὸ αἷμα.

(g) Ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται C. R.

(h) Ὁ ἱερεὺς εὔχεται C. R.

(i) Καὶ ἀν. σφραγίζων γ'. τὰ ἅγια δῶρα λέγει C. R.

(k) C. R. omits the words *here*. It adds Ὁ διάκονος. Ἀμήν.

(l) Ὁ διάκονος. Ἀμήν. C. R.

BARBERINI MANUSCRIPT.

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

(a) Ἀμήν.

(b) Ὁ ἱερεὺς μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς
(c) βασιλείας πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα.

p. 64 Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυ-
(d) σαμένων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύ-
(e) ρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς δικαίου ἐν πίστει τετελειωμένου·

[22 b] Ἐκφών. Ἐξαιρέτως τῆς παναγίας, ἀχράν-
(f) του, ὑπερενδόξου, εὐλογημένης, δεσποίνης
(g) ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας·

p. 65 (h) Τοῦ ἁγίου Ἰωάννου, προδρόμου, καὶ βαπτιστοῦ, καὶ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ ἁγίου τοῦδε οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν
(i) κεκοιμημένων ἐν ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

BARBERINI MANUSCRIPT.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ
διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. p. 66

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην
λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας [23]
καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων,
ὑπὲρ τῶν ἐν ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς (k)
ὀπαῖς τῆς γῆς, ὑπὲρ τῶν πιστοτάτων βασι- (l)
λέων, τῆς φιλοχρίστου βασιλίσσης, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν.
Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, p. 67
ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ [23 b] (m)
παροικοῦμεν, καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει κατοικούντων ἐν αὐταῖς.

Ἐκφών. Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν.

(a) Ὁ διάκονος. Ἀμήν. C. R.
(b) Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται C. R.
(c) βασιλείας οὐρανῶν C. R.
(d) προπατόρων, πατέρων C. R.
(e) παντὸς πνεύματος ἐν π. C. R.
(f) Only the first five words in C. R.
(g) + Ὁ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων. Ὁ δὲ ἱερεὺς κλινόμενος. C. R.
(h) τοῦ προφήτου, προδρόμου C. R.
(i) ἐπ' ἐλπίδι C. R.
(k) – ὑπὲρ τῶν ἐν ὄρεσιν...τῆς γῆς C. R.

(l) καὶ φιλοχρίστων βασιλέων, παντὸς τοῦ παλατίου C. R.

(m) The order is slightly different in C. R., where we have here Ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων and then Μνήσθητι Κύριε κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων.

BARBERINI MANUSCRIPT.

Πατρὶ συγκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀόρατος συνών· καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ σου.

Ὁ διάκονος. Πρόσχωμεν.

Ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαός. Εἷς ἅγιος.

Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τό,

Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός,

λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδας καὶ βάλλει εἰς τὰ ἅγια ποτήρια, καὶ λέγει,

Εἰς πλήρωμα Πνεύματος ἁγίου.

Καί, μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διακόνου τὴν εὐχήν, ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε,

BARBERINI MANUSCRIPT.

εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὁ καὶ τῇ παρούσῃ ἡμέρᾳ καταξιώσας ἡμᾶς τῶν ἐπουρανίων (a)
σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, σῶσον ἡμᾶς ἐν τῷ [25] p. 73
φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἁγίας, ἐνδόξου, δεσποίνης ἡμῶν, (b) θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου τῶν ἀπ' (c) αἰώνων σοι εὐαρεστησάντων·

Ἐκφών. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, (d) τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. (e)

Ὁ λαός. Ἐν ὀνόματι Κυρίου.

δόξης τῆς βασιλείας σου, and continuing thus:— *Ζήτει εἰς τὴν λειτουργίαν τοῦ ἁγίου Βασιλείου ὄπισθεν. Καὶ μετὰ τὸ ὑψῶσαι τὸν ἄρτον καὶ εἰπεῖν τὸν λαόν, τὸ Εἷς ἅγιος, καὶ τοῦ διακόνου τὸ Πλήρωσον, Δέσποτα, καὶ τὴν ἕνωσιν, καὶ τὴν μετάληψιν, ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται Εὐχαριστοῦμέν σοι.*

(a) *ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας* C. R.

(b) – *δεσποίνης ἡμῶν* C. R.

(c) – *τῶν ἀπ'...εὐαρεστησάντων* C. R.

(d) As usual, C. R. gives only the leading words.

(e) C. R. omits these two lines and inserts in their stead the prayer Εὐχὴ *ὀπισθάμβωνος*. Ὁ *εὐλογῶν τοὺς εὐλογοῦντάς σε* and also the Εὐχὴ *λεγομένη ἐν τῷ σκευοφυλακίῳ*. Τὸ *πλήρωμα τοῦ νόμου*, as they are now used in the Liturgy. See below.

LITURGY OF THE PRESANCTIFIED.

BARBERINI MANUSCRIPT.

(a) ✠ Ἐν δὲ τῷ λυχνικῷ μετὰ τὰ ἀναγνώσματα καὶ τὸ Κατευθυνθήτω καὶ τὸ Κύριε ἐλέησον γίνεται εὐχὴ κατηχουμένων ἐπὶ τῶν προηγιασμένων.

Κ Δ'. [26] Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς πα-
P. 75 (b) λαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου, καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν
(c) ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ ἐφ' ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται·

Ἐκφώνως. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ.

(d) [Ὁ *λαός.* Ἀμήν.

Ὁ *διάκονος.* Ὅσοι κατηχούμενοι.

Ταῦτα τὰ διακονικὰ λέγεται μέχρι τῆς μεσονηστίμου· ἀπὸ δὲ τῆς Δ'. τῆς μεσονηστίμου λέγει τὰ ὑποτεταγμένα. Οἱ διπλοκατηχούμενοι μετα. (e) *καὶ τῆς εὐχῆς μέχρι τῆς μεγάλης παρασκευῆς.*

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι πρὸς τὸ φώτισμα προσέλθετε· εὔξασθε οἱ πρὸς τὸ φώτισμα.

Ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρε- [26 b]
πιζομένων ἀδελφῶν ἡμῶν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ·

Φωτίσῃ αὐτοὺς φωτισμὸν γνώσεως·

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας·

Ἀναγεννήσῃ αὐτοὺς δι' ὕδατος καὶ πνεύματος·

Χαρίσηται αὐτοὺς τὴν τελειότητα τῆς πίστεως·

(a) The collects are numbered in the Barberini Manuscript consecutively from one in the Liturgy of S. Chrysostom (above, p. 90). There is no distinctive title in the MS. In the Codex Bossanensis (C. R.) the Liturgy is introduced with the words ἡ θεία λειτουργία τῶν προηγιασμένων. The numbers in square brackets refer to the folios of this MS.

(b) τοῦ διαβόλου C. R.

(c) – αὐτῶν C. R.

(d) The words within brackets are found only in the Bossano MS. but I have printed them above for convenience.

(e) Sic. Query μεταλαμβάνουσι.

BARBERINI MANUSCRIPT.

Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ.

Σῶσον, ἐλέησον καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι.

Οἱ πρὸς τὸ φώτισμα τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.]

(a) *Εὐχὴ εἰς τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους.*

KE'. *Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου*
[27] *ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρε-*
p. 76 *πιζομένους καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρ-*
τίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον
αὐτῶν τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν
τῇ πίστει· στήριξον ἐν ἐλπίδι· τελείωσον
ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ σου
ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον
ὑπὲρ τῶν ψυχῶν ἡμῶν·

Ἐκφώνως. Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν.

(b) [*Ὁ λαός. Ἀμήν.*

Ὁ διάκονος. Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε· οἱ πρὸς τὸ φώτισμα προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοὶ ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον.]

Εὐχὴ πιστῶν α' μετὰ τὸ ἁπλωθῆναι τὸ λιτόν.

Kς'. *Ὁ Θεός, ὁ μέγας καὶ αἰνετός, ὁ τῷ ζωο-*
p. 77 *ποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρ-*
[27 b] *σίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας· σὺ πάσας*
ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώ-
σεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα
τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφ-
θαλμὸς μὲν ἀμέτοχος ἔστω παντὸς πονηροῦ
βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπί-
βατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων
ἀπρεπῶν· ἅγνισον δὲ ἡμῶν καὶ τὰ χείλη
τὰ αἰνοῦντά σε, Κύριε, τὰς χεῖρας ἡμῶν p. 78
ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι πρά-
ξεων ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα,
πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ
σῇ κατασφαλιζόμενος χάριτι· (c)

Ἐκφώνως. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

Εὐχὴ πιστῶν β'.

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν KZ'.
σε, τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι
ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς
ποίησον τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου (d)
Υἱοῦ, καὶ Θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς [28]
δόξης· ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα p. 79
καὶ ζωοποιὸν αἷμα, κατὰ τὴν παροῦσαν (e)
ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ
προτίθεσθαι μέλλει τραπέζῃ, ὑπὸ πλήθους
στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα·
ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρη-
σαι, ἵνα δι' αὐτῶν τὸ τῆς διανοίας ὄμμα
καταυγαζόμενοι υἱοὶ φωτὸς καὶ ἡμέρας
γενώμεθα,

Ἐκφώνως. Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ.

(a) *Καί, τοῦ διακόνου ταῦτα συνάπτοντος, ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.* C. B.

(b) Again the words between brackets are found only in C. B.

(c) + *Σοφία* C. B. *manu recentiori.*

(d) *ποιῆσαι* C. B.

(e) *τὸ ζωοποιὸν αἷμα* C. B.

BARBERINI MANUSCRIPT.

Ὁ *ἱερεὺς ἐκφωνεῖ.* Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

(a) Ὁ λαός. Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός.

Εὐχὴ μετὰ τὴν μετάληψιν. Εὐχαριστοῦμέν σοι, τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· καὶ δεόμεθά σου, Δέσποτα
p. 86 φιλάνθρωπε, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ δὸς ἡμῖν, μέχρι

BARBERINI MANUSCRIPT.

τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν·

Ἐκφώνως. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ *διάκονος.* Ἐν εἰρήνῃ προέλθωμεν. (b)

Ὁ λαός. Ἐν ὀνόματι Κυρίου.

(a) –Ἰησοῦς Χριστός C. B.

(b) In place of these two lines C. B. has the two following prayers:

Εὐχὴ ὀπισθάμβωνος. Δέσποτα, Κύριε, ὁ Θεός, ὁ Παντοκράτωρ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἰατρείαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας, τὰ θεοχάρακτα γράμματα, Μωσεῖ τῷ θεράποντί σου· παράσχου καὶ ἡμῖν, Ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀορατῶν δρακόντων συνθλάσαι, καὶ νικητὰς τῆς ἁμαρτίας ἀναφανῆναι, καὶ ἀκατακρίτους φθάσαι καὶ προσκυνῆσαι τὴν ἁγίαν σου ἀνάστασιν· ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Εὐχὴ εἰς τὸ συστεῖλαι τὰ δῶρα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ταύτας ἡμέρας καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου μυστηρίων, σύναψον ἡμᾶς τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

LITURGIES OF SAINT CHRYSOSTOM,

SAINT BASIL

AND THE

PRESANCTIFIED.

[ELEVENTH CENTURY TO MODERN TIMES.]

LITURGY OF SAINT CHRYSOSTOM.

[I have met with considerable difficulties in my attempt to arrange the "Liturgy of Saint Chrysostom" so as to exhibit its gradual growth. It will be remembered that in the Barberini MS., which gives the first known copy of the Liturgy that afterwards grew into the much larger dimensions of the modern "Liturgy of Saint Chrysostom," the name of the great preacher was prefixed to two of the prayers, but not to the whole work. In the Rossano copy, which has strong resemblances to the other, the name disappears from the introductions to these two prayers but is given to the whole Liturgy. Almost every portion of that copy is retained in the modern service. But it will be seen also that, as early as the eleventh century, many of the prayers originally in the Liturgy of Saint Basil were incorporated into that which was now named after the great Bishop of Constantinople, and in my notes I shall point out sources from which other prayers were derived. In point of fact it was framed out of materials drawn from a wide area.

By the very great kindness of the Baroness Burdett-Coutts I have been allowed to use a manuscript mentioned by Dr Scrivener in his "Introduction to the Criticism of the New Testament" (second edition, p. 266), B-C. I. 10. Unfortunately a quire is missing here out of the Liturgy of S. Chrysostom and another out of the Liturgy of S. Basil. But the loss is compensated for by another manuscript (II. 42) belonging to the same Lady, of which Dr Scrivener most kindly gave me information. This contains a complete text of the Liturgies, which I ascribe without hesitation to the eleventh century at the latest. It occupies the upper part of my page. I have noted the few variations between this text and that of B-C. I. 10; and also noted such portions of the text as had been in use at the date of the Barberini Codex or of the original of the Rossano Codex. These I have marked by B. and C. R. Then Morel published at Paris in MDLX. (and the Plantin Press at Antwerp almost simultaneously) a Latin version of "S. Chrysostom," which, I am surprised, has not attracted attention in recent times. The translation was made by Leo Thuscus, a pupil of the celebrated Hugo Etherianus—the friend of the Emperor Manuel. It must have been made about the year 1200; but internal evidence seems to fix the date of the Liturgy itself to within ten years of the year 1100. This copy exhibits further accretions; so that I have marked with the letter L in the margin all that it retains of the immediately earlier copies, and also all that I find incorporated in the next complete recension which has come down to us. This recension is contained in the edition published at Rome by Demetrius Ducas in the year 1526, of which edition some account is given in the Introduction. The changes introduced between the eleventh century and the sixteenth are sufficiently numerous and marked to warrant my printing at length the copy contained in this edition, without however repeating the prayers which will be found in the upper part of my page. The Greek copy printed by Morel agrees almost entirely with that of Demetrius Ducas. But additional ceremonies and other changes have been introduced since 1526, and these I have noted below the copy of that year. As Mr Hammond's work is more easily accessible than any other, I have marked these changes with the letter H, although Mr Hammond (Introduction, p. xlviii) has merely taken the text from Daniel, and Daniel (vol. IV. pp. 315, 327) seems to have taken his from a copy printed at Venice, of which however he does not give the date. I have been unable to procure a copy from the authorized Press at Constantinople, but I have a beautiful Euchology printed in the year ͵αωογʹ (1873) at Rome for the use of Greeks of the Roman obedience, and variations from the text of Ducas which I have noticed in it, I have marked R.

The text printed by Goar, MDCXLVII, agrees generally with that of Ducas and Morel; he gives in addition various readings from later Venice editions. I have not attempted to reproduce all these. The letter C however denotes special readings of a MS. described by him as in use in the Greek Churches in Italy and Sicily: and P those of an imperfect MS. at Paris, which, from the character of the writing as well as from the special intercessions, must be assigned to the date of the Council of Florence. On these MSS. see the Introduction.]

LITURGY OF SAINT CHRYSOSTOM.

ELEVENTH CENTURY.

ις′. 1 Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταν-
(1) τινουπόλεως τοῦ Χρυσοστόμου.

(1) The text is taken from Lady Burdett-Coutts' MS. III. 42. The figures in the Margin denote the number of the quire and the leaf in the Manuscript. The rubric and prayers marked L were in the Liturgy which was translated by Leo Thuscus and printed by Morel in Latin in the year 1560. The original must have been in use about the year 1110. See p. 100 above.

SIXTEENTH CENTURY.

(a) Διάταξις τῆς θείας ἱερουργίας τοῦ ἐν ἁγίοις πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου.

Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυστα-
(b) *γωγίαν ὀφείλει εἶναι προηγουμένως ἐξωμολογημένος καὶ μετὰ πάντων κατηλλαγμένος καὶ τὴν καρδίαν, ὅση δύναμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν*

(*a*) The text is taken from the edition of Demetrius Ducas. See p. 100. Dr Daniel's copy was entitled *Διάταξις τῆς θείας καὶ ἱερᾶς λειτουργίας γενομένης οὕτως ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ ἁγίῳ ὄρει.* Other copies have titles varying slightly from these.

(*b*) Modern Venetian editions (followed by Daniel and the Roman editors of 1873 and Mr Hammond in his note, p. 82) read...*ὀφείλει εἶναι προηγουμένως μὲν κατηλλαγμένος μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος*, and conclude this first direction thus: *ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν προσκυνήματα τρία.*

The Roman edition proceeds with the following directions; they vary slightly in other modern copies, but are entirely omitted by Mr Hammond:

Εἶτα λέγει ὁ διάκονος· Εὐλόγησον δέσποτα. Ὁ *ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν...Ὁ *διάκονος·*

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός· ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος· καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Τὸ Τρισάγιον. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ′.

Δόξα καὶ νῦν.

Πάτερ ἡμῶν.

Ὁ *ἱερεύς·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν. Ἐλέησον ἡμᾶς. Δόξα.

Κύριε ἐλέησον, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

λογισμῶν, ἐγκρατεύσας τε ἀφ' ἑσπέρας, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ. Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ· καὶ ἑνωθεὶς τῷ διακόνῳ ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία ἔμπροσθεν τῆς εἰκόνος τοῦ Σωτῆρος καὶ τῆς ὑπεραγίας θεοτόκου καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν. ὅτε δὲ προσκυνοῦσι λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην·

(a) · Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σου ἐστὶν ἡ δύναμις κ.τ.λ. Ἀμήν.

(b) *Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον λαμβάνουσιν ἕκαστοι ἐν ταῖς χερσὶν αὐτῶν τὸ στοιχάριον ἑαυτῶν καὶ ποιοῦσι προσκυνήματα τρία κατ' ἀνατολάς, λέγοντες καθ' ἑαυτοὺς τό,*

Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλὴν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στοιχάριον σὺν τῷ ὠραρίῳ, λέγων·

Εὐλόγησον, δέσποτα, τὸ στοιχάριον σὺν τῷ ὠραρίῳ.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρός, λέγει· (c)

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ διάκονος καθ' ἑαυτὸν εἰς ἓν μέρος τοῦ ἱερατείου καὶ ἐνδύεται τὸ στοιχάριον, εὐχόμενος οὕτως·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἐνέδυσέ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην περιέθηκέ με κόσμῳ.

ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ *νῦν.*

Τῆς *εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη θεοτόκε. ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.*

Ἔπειτα ἀπέρχονται εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ λέγοντες·

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν, ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστέ, ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμεν σοί· Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Εἶτα ἀσπάζονται καὶ τὴν εἰκόνα τῆς θεοτόκου λέγοντες τὸ τροπάριον· Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα· δεῖξον, ὡς ἀεί, τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες τό, Χαῖρε, βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Εἶτα κλίνοντες τὴν κεφαλὴν, λέγουσι ταύτην τὴν εὐχήν. Κύριε *ἐξαπόστειλον, ut supra.*

(*a*) Morel's edition (M), which generally follows that of Demetrius Ducas, has here *Κύριε ὁ Θεὸς ἡμῶν...ἐξ ἁγίου κατοικητηρίου σου.*

(*b*) *Ἔπειτα ποιοῦσιν εἰς τοὺς χοροὺς προσκυνήματα ἀνὰ ἕν, καὶ οὕτως ἀπέρχονται εἰς τὸ θυσιαστήριον λέγοντες τό, Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου κ.τ.λ. Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σοῦ κ.τ.λ.*

Εἰσελθόντες δὲ εἰς τὸ ἱερατεῖον ποιοῦσι προσκυνήματα γ' ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ἀσπάζονται τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἁγίαν τράπεζαν· εἶτα λαμβάνουσιν κ.τ.λ. H (Hammond) and R (the Roman edition of 1873).

(*c*) – *εὐλογῶν μετὰ τῆς χειρός* H, R.

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

σονται, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(a) *Εἶτα ἀπελθόντες εἰς τὴν πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες·*

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

(b) *Ὁ δὲ διάκονος εὐτρεπίζει τὰ ἱερά, τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς.*

Εἶτα προσκυνήματα τρία ἔμπροσθεν τῆς προθέσεως ποιήσαντες λέγουσιν ἕκαστος τό,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. Καὶ τὸ Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς· τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις. Σωτὴρ ἡμῶν, δόξα σοι. (c)

Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει ὁ ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην. Καὶ σφραγίζων σὺν αὐτῇ ἐπάνω τῆς σφραγίδος τῆς προσφορᾶς τρίς, λέγει·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ (d)
Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγίδος, καὶ ἀνατέμνων λέγει·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. L

Ἐν δὲ τῷ ἀριστερῷ ὁμοίως πηγνὺς τὴν ἁγίαν (e)
λόγχην, λέγει·

Καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείρον- L
τος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγίδος πηγνὺς τὴν (e)
ἁγίαν λόγχην, λέγει·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ L
ἤρθη.

Ἐν δὲ τῷ κάτω μέρει τῆς σφραγίδος πάλιν (e)
πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; L

Ὁ δὲ διάκονος ἐν τῇ ἑκάστῃ ἀνατομῇ λέγει, (f)

(a) P omits the washing of the hands.

(b) For this H, B have simply *καὶ οὕτως ἀπέρχονται ἐν τῇ προθέσει.*

(c) H, B add *καὶ λέγει ὁ διάκονος·* Εὐλόγησον, *δέσποτα.*

(d) L (the Latin of Leo Thuscus) begins here: Diaconus igitur accipiens panem, si cum sacerdote Missam celebraturus sit, seu etiam sacerdos sine diacono, facit in eo cum lanceola crucem, dicens: *In nomine Dei et Salvatoris nostri Jesu qui immolatus est pro mundi vita et salute;* and proceeds with a direction to divide the "signaculum" into four parts. It omits the rubrics marked (*e*).

(*e*) These rubrics are somewhat simpler in B.

(*f*) + *ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ* H, B.

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

Τοῦ Κυρίου δεηθῶμεν, *κρατῶν καὶ τὸ ὠράριον αὐτοῦ ἐν τῇ δεξιᾷ. Μετὰ ταῦτα λέγει ὁ διάκονος·*

Ἔπαρον, δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγων οὕτως·

I. Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ πάντοτε, νῦν.

Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου

Θῦσον, δέσποτα.

(a) *Ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, λέγων·*

I. Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου

(b) ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος τὸ ἔχον ἐπάνω τὸν σταυρόν.

(c) *Καὶ λέγει ὁ διάκονος·* Νύξον, δέσποτα.

Ὁ δὲ ἱερεὺς νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει·

Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν L

αὐτοῦ ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. (d)

Ὁ δὲ διάκονος ἐγχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος καὶ ὕδατος, πρότερον πρὸς τὸν ἱερέα εἰπών·

Εὐλόγησον, δέσποτα· (e)

Καὶ ὁ ἱερεὺς εὐλογεῖ.

Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφοράν, λέγει· (f)

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον·

Καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου. (g)

Εἶτα λαβὼν τὴν τρίτην προσφοράν, λέγει· (h)

Τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· (i)

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· (k)

(a) *εἶτα τὸν ἐκτμηθέντα ἄρτον κρατῶν ἐπάνω τοῦ δίσκου ἔνδον εἰς τὴν σάρκα σταυροειδῶς χαράττει, λέγων·* Θύεται C.

(b) + *ὁ θυόμενος καὶ μὴ δαπανώμενος, ὁ καινούμενος καὶ μηδέποτε πληρούμενος* P.

(c) R omits this.

(d) + *καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ* H, R.

(e) + *τὴν ἕνωσιν ταύτην* M.

\+ *τὴν ἁγίαν ἕνωσιν* H, R.

(*f*) *ὁ δὲ ἱ. λαβὼν ἐν ταῖς χερσὶ τὴν πρώτην σφραγίδα* R.

(*g*) D, H and R read *τίθησιν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁ. ἄ. πλησίον τῆς μέσης αὐτοῦ, λέγων·*

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

(*h*) *λαβὼν δευτέραν σφραγίδα* R.

P has the following: *εἶτα λαβὼν καὶ ἑτέραν λέγει· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου καὶ ἐνδόξου προφήτου καὶ προδρόμου...* The saints &c. commemorated vary. Mention is made, apparently, only of four *προσφοραὶ* or *μερίδες*, *i.e.* the four into which the *ἄρτος* has been divided.

(*i*) H, R insert here Καὶ *αἴρων τὴν πρώτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου πλησίον τῆς σφραγῖδος τῆς θεοτόκου, ποιῶν ἀρχὴν τῆς πρώτης τάξεως. Ἔπειτα λέγει·*

Τῶν ἁγίων ἐνδόξων προφητῶν, Μωσέως καὶ Ἀαρών, Ἠλίου καὶ Ἐλισσαίου, Δαβὶδ καὶ Ἰεσσαί, τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου, καὶ πάντων τῶν ἁγίων προφητῶν.

Καὶ τίθησιν δευτέραν μερίδα ὑποκάτω τῆς πρώτης εὐτάκτως. Εἶτα αὖθις λέγει·

(*k*) H and R insert *Πέτρου καὶ Παύλου, τῶν*

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν·

(a) Τοῦ ἁγίου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου·

Τῶν ἁγίων μεγάλων μαρτύρων, Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων μαρτύρων·

(b) Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων τῶν ὁσίων·

Τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων, (c)
Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλλαλίου καὶ Τρύφωνος καὶ τῶν λοιπῶν·

Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωα- (d)
κεὶμ καὶ Ἄννης· Τοῦ ἁγίου (τοῦ δεῖνος, τοῦ κατὰ τὴν ἡμέραν δηλονότι,) καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν (e)
ἄνω, ποιῶν τρίτην ἀρχὴν κατὰ τάξιν. Εἶτ' αὖθις λέγει· H, R. They insert simply *τοῦ ἁγίου τῆς ἡμέρας.*

δώδεκα καὶ τῶν ἑβδομήκοντα καὶ πάντων τῶν ἁγίων ἀποστόλων.

Καὶ *οὕτω τίθησι τὴν τρίτην μερίδα, ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν πρώτην τάξιν* and add *καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων* in the next series.

(*a*) H and R Καὶ *αἴρων τετάρτην μερίδα, τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν δευτέραν ἀρχήν.* Εἶτα *πάλιν λέγει·* they omit *ἀποστόλου.*

(*b*) Καὶ *αἴρων πέμπτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης, ἀρχῆς οὔσης τῆς δευτέρας τάξεως.* Ἔπειτα *λέγει·*

(*c*) Καὶ *οὕτως αἴρων ἕκτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας μερίδος εἰς ἀναπλήρωσιν τῆς δευτέρας τάξεως.* Μετὰ *δὲ ταῦτα λέγει·* they read *θαυματουργῶν* for *ἰαματικῶν* and, after Ἑρμολάου, *καὶ πάντων τῶν ἁγίων ἀναργύρων.*

[In C the bread seems to have been divided only into three portions, as in the copy of Ducas, but commemoration is also made *τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων*, and prayer is made for those who have fallen asleep in the hope of eternal life. The Saints commemorated vary much in the different copies.]

(*d*) Καὶ *αἴρων ἑβδόμην μερίδα, τίθησιν αὐτὴν*

(*e*) D, H and R read here Καὶ *τίθησιν ὀγδόην μερίδα ὑποκάτω τῆς πρώτης εὐτάκτως.* Ἔτι *δὲ πρὸς τούτοις λέγει·*

Τοῦ *ἐν ἁγίοις πατρὸς ἡμῶν* Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου (*εἴπερ λέγεται ἡ λειτουργία αὐτοῦ. εἰ δὲ λέγεται τοῦ* Μεγάλου Βασιλείου, *τούτου μνημονεύει).*

Καὶ *οὕτως αἴρων καὶ τὴν ἐννάτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ τέλει τῆς τρίτης τάξεως εἰς ἀναπλήρωσιν.*

Εἶτα *λαβὼν τὴν τρίτην σφραγίδα* [*καὶ ἑτέραν προσφορὰν* H] *λέγει·*

Μνήσθητι, Δέσποτα *φιλάνθρωπε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἐπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν* Χριστῷ *διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, τοῦ (δεῖνος) καθηγουμένου, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, πρεσβυτέρων, διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα.* [The MSS. P and C differ considerably.]

Καὶ *αἴρων μερίδα τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου ἄρτου.* Εἶτα *μνημονεύει καὶ ὧν ἔχει ζώντων*

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. Εἶτα λαβὼν *ἑτέραν προσφοράν, λέγει·*

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (*τοῦ δεῖνος*), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης·

(a) *Ἐνταῦθα καὶ ζώντων καὶ τεθνεώτων, ὧν ἐθέλει ὁ ἱερεύς, μνημονεύει ὀνομαστί·*

Καὶ πάντων τῶν ἐν ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου τῇ σῇ κοινωνίᾳ κεκοιμημένων, ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

(b) *Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει.*

Εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα λέγει πρὸς τὸν ἱερέα·

L Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. *καὶ* Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς τὴν εὐχήν. (c)

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ L Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἣν πρόσδεξαι, Δέσποτα, εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον· (d) καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, καὶ δώρησαι ἡμῖν αὐτά, τοῖς δούλοις σου, τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου, τοῦ Πατρός, κ.τ.λ.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεύς, θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, λέγων· (e)

Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον, πάντοτε, νῦν. (f) (*sic*)

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα σκεπάζει L *τὸν ἅγιον ἄρτον καὶ λέγει·* (g)

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνε- L δύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περι-

---

κατ' ὄνομα, καὶ οὕτως αἴρων τὰς μερίδας τίθησιν αὐτὰς ὑποκάτω.

Ἔπειτα λαβὼν *ἑτέραν σφραγίδα, λέγει·*

Ὑπὲρ *μνήμης, κ.τ.λ.*

(*a*) H, R instead of this read *εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως, καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων κατ' ὄνομα, καὶ τελευταῖον ἐπιλέγει οὕτω·*

Old Venetian editions (says Goar p. 89) state in the margin that in the great church Ὁ *διάκονος δίδωσι τῷ ἱερεῖ τὴν προσφοράν, καί, μνημονεύοντος τοῦ διακόνου κατὰ νοῦν ὧν ἔχει ζώντων καὶ τεθνεώτων, ὁ ἱερεὺς αἴρει τὰς μερίδας.*

(*b*) For this H and R read Καὶ *αἴρει μερίδα.*

Ὁ *δὲ διάκονος,* λαβὼν *καὶ αὐτὸς σφραγίδα καὶ τὴν ἁγίαν λόγχην, μνημονεύει ὧν βούλεται τεθνεώτων, καὶ τελευταῖον λέγει οὕτω·*

Μνήσθητι, Κύριε, *καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.*

Εἶτα *μνημονεύει καὶ ὧν βούλεται ζώντων ἐν ἑτέρᾳ σφραγίδι ὡσαύτως, καὶ τίθησι τὰς μερίδας ἐν τῷ κάτωθεν μέρει τοῦ ἁγίου ἄρτου, ὥσπερ καὶ ὁ ἱερεύς, καὶ λαβὼν τὴν μοῦσαν συστέλλει τὰς ἐν τῷ δίσκῳ μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, ὥστε εἶναι ἐν ἀσφαλεῖ, καὶ μὴ ἐκπεσεῖν τι.*

(*c*) H, R *τὴν εὐχὴν τοῦ θυμιάματος.*

(*d*) H, R *ὁ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.*

(*e*) P interposes Τῷ *λόγῳ Κυρίου καὶ τὰ ἑξῆς.*

(*f*) — *πάντοτε, νῦν, κ.τ.λ.* H, R.

(*g*) *ἄρτον σὺν τῷ δίσκῳ, λέγων.* H, R.

ELEVENTH CENTURY.

Εὐχὴ τῆς προθέσεως.

L (1) Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) This prayer is found in the Barberini S. Basil.

SIXTEENTH CENTURY.

ἐζώσατο, καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν,
(a) πάντοτε, νῦν καὶ ἀεί.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Κάλυψον, δέσποτα.

Καὶ ὁ ἱερεύς, θυμιῶν τὸ δεύτερον κάλυμμα καὶ σκεπάζων τὸ ἅγιον ποτήριον, λέγει·

L Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ,
(a) καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ, πάντοτε, νῦν καὶ ἀεί.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Σκέπασον, δέσποτα.

(b) *Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα καὶ σκεπάζων ἀμφότερα, λέγει·*

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί. (c)

Εἶτα δήσαντες ἀμφότεροι τὰς χεῖρας καὶ προσκυνήσαντες εὐλαβῶς, λέγουσιν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας, πάντοτε, νῦν καὶ ἀεί.

Ὁ διάκονος ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων, L

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως. L

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν—αἰώνων. Ἀμήν, *ut supra.*

Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν καὶ ποιεῖ ἀπόλυσιν, λέγων· (d)

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν.

Ὁ διάκονος. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ

(a) — *πάντοτε, νῦν, κ.τ.λ.* B.

(b) *τὸ κάλυμμα ἤτοι τὸν ἀέρα* H, R.

(c) H, R omit *πάντοτε, νῦν καὶ*...and proceed *ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας. Δόξα σοι.*

Εἶτα λαβὼν ὁ ἱερεὺς τὸν θυμιατὸν θυμιᾷ τὴν πρόθεσιν, λέγων ἐκ τρίτου τὸ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας. Δόξα σοι.

Ὁ δὲ διάκονος ἐν ἑκάστῃ λέγει·

Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ προσκυνοῦσιν εὐλαβῶς ἀμφότεροι ἐκ τρίτου. Ἔπειτα, λαβὼν ὁ διάκονος τὸν θυμιατόν, λέγει·

Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. [sic R.]

(d) H, R differ slightly. R reads *καὶ μετὰ τοῦτο ποιεῖ ἀπόλυσιν, λέγων·*

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, [ταῖς πρεσβείαις] τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πάντων
(sic) τῶν ἁγίων, ἐλέησαι ἡμᾶς, ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος.

Ὁ χορός. Ἀμήν.

(a) Καὶ οὕτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν·

(b) Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ τὸν πεντηκοστὸν ψαλμόν·

Ἐλέησόν με ὁ Θεός, κ. τ. λ.

(c) Καὶ ἐν ᾧ θυμιάσας τό τε ἱερατεῖον καὶ τὸν ναὸν ὅλον εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν, καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ, αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης καὶ προσκυνοῦντες καθ' (d)
ἑαυτοὺς καὶ εὐχόμενοι, λέγουσιν·

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Καὶ τό, (e)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὰ ἑξῆς, ἅπαξ.

Εἶτα ἀσπάζεται ὁ μὲν ἱερεὺς τὸ εὐαγγέλιον, ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν. Εἶτα ὁ διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα, L
εὐλόγησον.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν L
καὶ ἀεί.

Ὁ διάκονος. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον. Δέσποτα, εὐλόγησον.

Καὶ ποιεῖ τὴν ἀπόλυσιν ὁ ἱερεύς, οὕτω λέγων, εἰ μὲν ἐστι κυριακή·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεός, κ.τ.λ.

Εἰ δ' οὔ· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, [Εἰ δὲ τελεῖται ἡ λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγει· Βασιλείου Καισαρείας Καππαδοκίας τοῦ Μεγάλου,] καὶ πάντων τῶν ἁγίων, ἐλέησαι καὶ ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

P omits all to Δόξα ἐν ὑψίστοις.

(a) H, R Μετὰ δὲ τὴν ἀπόλυσιν θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν πρόθεσιν. εἶτα ἀπέρχεται κ.τ.λ.

(b) P has not these words.

(c) ἐν τῷ θυμιᾶσαι M, H.

(d) προσκυνοῦσιν ἐκ τρίτου, καθ' ἑαυτοὺς εὐχόμενοι. H, R.

(e) + Δόξα ἐν ὑψίστοις Θεῷ, κ.τ.λ. [M. δίς] P, M, H, R.

ELEVENTH CENTURY.

L 'Ο *διάκονος.* Εὐλόγησον, δέσποτα.

L (1) 'Ο *ἱερεύς.* Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

L 'Ο *διάκονος.* Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

L Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν. L

Ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν. L (2) (3)

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης L (4)

(1) L has here "Initium Sanctæ Missæ."

(2) Lady Burdett-Coutts' MS. I. 10 has ἀρχιεπισκόπου. (So L.)

(3) I. 10 adds *ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλακτῶν βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου. ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάν[τα ἐχθρὸν καὶ πολέμιον].* Both these are in Leo Thuscus.

(4) L must have had in the original Ὑπὲρ *τῆς πόλεως ταύτης, πάσης πόλεως.* Thus it must have been intended for a city church, and not for a monastery.

SIXTEENTH CENTURY.

L (a) 'Ο *διάκονος.* Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

L 'Ο *ἱερεύς.* Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεί.

Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν.

(b) *Καὶ προσκυνήσαντες τρὶς λέγουσι καθ' ἑαυτούς·* Κύριε τὰ χείλη μου ἀνοίξεις, *καὶ τὰ ἑξῆς.*

(c) *Καὶ μετὰ τοῦτο ἐξέρχεται ὁ διάκονος τοῦ βήματος καὶ προσκυνήσας τρίς, λέγει ἐκφώνως·* Εὐλόγησον, δέσποτα.

'Ο *δὲ ἱερεὺς ἐκφώνως λέγει.* Εὐλογημένη, *ut supra.*

'Ο *χορός.* Ἀμήν.

'Ο *διάκονος ἐκφώνως.* Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

'Ο *χορός.* Κύριε, ἐλέησον.

[Then the εἰρηνικὰ as above. Clauses

(a) +'Ο *δὲ ἱερεύς.* Κατευθύναι Κύριος τὰ διαβήματά σου.

Καὶ πάλιν ὁ διάκονος. Μνήσθητί μου, δέσποτα ἅγιε, P, M, H, R.

Both these sentences were in Leo Thuscus' copy.

(b) H, R have Καὶ *προσκυνήσας ἐξέρχεται ὁ διάκονος τοῦ βήματος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ κατέναντι τῶν ἁγίων θυρῶν προσκυνεῖ μετ' εὐλαβείας τρίτον, λέγων καθ' ἑαυτὸν τὸ* Κύριε.

R proceeds: *καὶ μετὰ τοῦτο ἄρχεται λέγων* Εὐλόγησον, δέσποτα.

(c) Daniel has here 'Η *θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν* Ἰωάννου *τοῦ* Χρυσοστόμου. 'Ο *διάκονος.* Εὐλόγησον, δέσποτα.

So the Roman edition places the words here, introducing the text of the prayer ὁ Θεός, ὁ Θεὸς ἡμῶν which has been offered a few minutes earlier. The prayer is followed by 'Ο *διάκονος,* Εὐλόγησον. It seems that there was an unwillingness to alter the text of the Liturgy proper, even after the additional preliminary rites had been introduced.

ELEVENTH CENTURY.

πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

L Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ἀντιφώνου α′.

L (1) Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ὁ διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. L (2)

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων, μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. L

(1) This prayer is found in the Barberini S. Basil, numbered B′. [The order of the prayers, &c. in L is very different here.]

(2) The Latin is in Morel, p. 58.

SIXTEENTH CENTURY.

pleading for the "Kings" and for their success in war are added, and the Κύριε, ἐλέησον to each petition. So too in L.]

(a) Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς. Κύριε, ὁ Θεὸς ἡμῶν, *ut supra*.

(b) Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά. Εἰ δὲ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν λέγει τὴν ἐκφώνησιν, καὶ μετὰ ταῦτα τὰ εἰρηνικά.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ. L

Ὁ χορός. Κύριε, ἐλέησον. L

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, κ.τ.λ. L

Ὁ χορός. Σοί, Κύριε. L

(a) H, R prefix here the following:
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα.
Ὁ χορός· Ἀμήν.
Καὶ ψάλλεται τὸ πρῶτον ἀντίφωνον παρὰ τῶν ψαλτῶν καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ ἀντιφώνου ὁ δὲ διάκονος προσκυνήσας μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς εἰκόνος τῆς θεοτόκου, βλέπων πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, κρατῶν καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός.
R however has ἐνώπιον τῆς εἰκόνος τοῦ Χριστοῦ, βλέπων πρὸς δυσμάς.

(b) For this, H, R have Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἀντιφώνου, ἐλθὼν ὁ διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, καὶ προσκυνήσας, λέγει·
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ELEVENTH CENTURY.

L 'Εκφώνως. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ιϛ΄. 2 Εὐχὴ ἀντιφώνου β΄.

L (1) Κύριος ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ. (2)

'Ο διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. L

'Αντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον, κ.τ.λ. L

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν, κ.τ.λ. L

'Εκφώνως. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ L

(1) This prayer is also in the Barberini S. Basil, being numbered Γ΄.

(2) The Latin (Morel, p. 59) adds here: *Post hæc dicunt lectores.* Bonum est confiteri domino et psallere nomini tuo, altissime. Intercessionibus Dei genitricis, Salvator, salva nos. Ad annuntiandum mane misericordiam tuam, et veritatem tuam per noctem. Intercessionibus Dei genitricis, salva nos. Quoniam rectus Dominus Deus noster, et non est iniquitas in eo. Intercessionibus &c. Gloria Patri et Filio et Spiritui Sancto, nunc et semper et in sæcula sæculorum. Amen. Intercessionibus &c.

SIXTEENTH CENTURY.

L (a) 'Εκφώνως ὁ ἱερεύς. Ὅτι πρέπει σοι, *ut supra.*

'Ο χορός. 'Αμήν.

(b) *Μετὰ τὰ εἰρηνικὰ ὁ χόρος ψάλλει τὸ πρῶτον ἀντίφωνον ἢ τὰ τυπικά, εἰ ἔστι κυριακή· εἰ δ' οὐκ, τῆς ἡμέρας.*

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον, *ut supra.*

(c) *Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ*

(sic) *πρώτῃ, εἰ ἔστι διάκονος, εἰ οὐκ ἔστι.*

'Ο *διάκονος.*

Ἔτι καὶ ἔτι τοῦ Κυρίου δεηθῶμεν. (d)

'Ο χορός. Κύριε, ἐλέησον.

'Ο διάκονος. 'Αντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ.

'Ο χορός. Κύριε, ἐλέησον.

'Ο διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης, κ. τ. λ.

'Ο χορός. Σοί, Κύριε.

'Εκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, *ut supra.* (e)

(a) H, R *ὅτι σὸν τὸ κράτος* as after the prayer of the second antiphon in B, p. 76, above.

(b) After the words *ὅτι πρέπει σοι* C has 'Ο *λαὸς ἀντίφωνον πρῶτον*· 'Αγαθὸν ἐξομολογεῖσθαι, which was the first antiphone. We have the same in L, as noted above.

H and R have the following: *Καὶ ψάλλεται ὁμοίως παρὰ τῶν ψαλτῶν τὸ β΄ ἀντίφωνον.* 'Ο *δὲ διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῇ προτέρᾳ εὐχῇ.*

C (after the prayer) 'Ο *λαὸς ἀντίφωνον δεύτερον.* 'Ο *Κύριος ἐβασίλευσεν, εὐπρέπειαν* (so in L).

(c) H, R omit this.

(d) M, H, R read *ἐν εἰρήνῃ τοῦ* K. δ. and omit the responses of the Choir.

(e) In H and R the doxology is *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις*, as below, p. 113. These doxologies have been transposed.

ELEVENTH CENTURY.

Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
(1) τῶν αἰώνων.

Εὐχὴ τῆς εἰσόδου.

L (2) Δέσποτα, Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατειὰς ἀγγέλων καὶ ἀρχαγγέλων πρὸς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ L
προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Σοφία· ὀρθοί.

(1) The Latin here gives the 95th (94th) Psalm: "Salvos nos fac, Fili Dei, qui resurrexisti a mortuis; tibi concinimus" being sung at the end of each verse.

(2) This prayer is numbered Ε′ in the Barberini S. Basil.

SIXTEENTH CENTURY.

ἢ τὴν τριτέκτην· εἰ δὲ καὶ ἔστι κυριακή, ψάλλει τοὺς μακαρισμούς, καὶ τοῦ ἁγίου τῆς ἡμέρας. Ὅταν δὲ ἔλθῃ ὁ χορὸς εἰς τὸ Δόξα Πατρί, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσιν προσκυνήματα τρία. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τῆς θύρας τοῦ βορείου μέρους ἔρχονται εἰς τὸν συνήθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς, καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα Τοῦ Κυρίου δεώμεθα, ἅμα καὶ τὸ ὠράριον κρατοῦντος τοῖς τρισὶ δακτύλοις, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου, μυστικῶς.

L Δέσποτα, Κύριε, ὁ Θεὸς ἡμῶν, *ut supra*.

Ὁ χορός. Ἀμήν.

Τῆς εὐχῆς δὲ τελεσθείσης λέγει ὁ διάκονος πρὸς (a)
τὸν ἱερέα,

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον, L

δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠρα- (b)
ρίου. καὶ ὁ ἱερεὺς ποιῶν σταυρὸν κατὰ ἀνατολας λέγει·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, L
πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ἐπί- (c)
σκοπον καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν· εἰ δ' οὐκ, ἀσπάζεται ὁ ἱερεύς. Καὶ τοῦ τελευταίου τροπαρίου πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνυων τὸ ἅγιον εὐαγγέλιον λέγει ἐκφώνως·

Σοφία· ὀρθοί. L (d)

(*a*) H, R combine the two rubrics thus: τῆς εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις, and omits mention of the cross.

(*b*) For this H, R read καὶ ὁ ἱερεὺς εὐλογῶν λέγει.

(*c*) H, R have for the commencement of this: εἶθ' οὕτως ἀπέρχεται πρὸς τὸν ἡγούμενον ὁ διάκονος καὶ ἀσπάζεται, κ.τ.λ.

(*d*) Leo Thuscus translates thus: Sophia: stantes sint pedes nostri: and adds, Venite adoremus et procidamus Christo. Salvos nos fac, Fili Dei, qui de Virgine natus es, canentes tibi Alleluia.

ELEVENTH CENTURY.

μελημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰώνων σοι εὐαρεστησάντων·

L "Οτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Πρόσχωμεν. I. (1)

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Σοφία.

Μετὰ δὲ τὸν Ἀπόστολον καὶ τὸ Ἀλληλούϊα *ἔτι ψαλμός. ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ εὐαγγελίου.* (2)

(1) I. 10 omits these three lines.

(2) The MS. is very uncertain. Leo Thuscus (Morel, p. 65) however stated that a psalm of David was here sung. The rubric in I. 10 is this: *Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ ἀποστόλου καὶ τοῦ εὐαγγελίου γίνεται ἡ ἐκτενής. Εἴπωμεν πάντες.* The prayer Ἔλλαμψον is omitted.

SIXTEENTH CENTURY.

L *Ἐκφώνως.* "Οτι ἅγιος εἶ, *ut supra.*

Ὁ χορός. Ἀμήν.

(a) *Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ* Δόξα καὶ νῦν, *ψάλλουσιν καὶ αὐτοί, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος, τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.*

(b) *Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα·*

(c) Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ.

Καὶ ὁ ἱερεὺς λέγει, ἀπερχόμενος·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.

Καὶ ὁ ἱερεύς. Εὐλογημένος εἶ ἐπὶ θρόνου (d) δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῆς θύρας, λέγει·

Πρόσχωμεν. I.

Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Σοφία.

Καὶ ὁ ἀναγνώστης ἄρχεται· Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαυΐδ. (e)

Καὶ ὁ διάκονος αὖθις·

Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ Ἀποστόλου καὶ τῆς ἡμέρας. L

(a) – *καὶ τοῦ χοροῦ ψάλλοντος τὸ Δόξα καὶ νῦν* II, R.

(b) The Roman copy inserts here the prayer found in the Barberini S. Basil (above, p. 77).

Εὐχὴ τῆς ἄνω καθέδρας.

Δέσποτα Κύριε, Θεὸς τῶν δυνάμεων, σῶσον τὸν λαόν σου καὶ εἰρήνευσον αὐτὸν τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, διὰ τοῦ τύπου τοῦ τιμίου σου σταυροῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(c) M. *Εὐλόγησον, δέσποτα.*

(d) P has at this point *Εὐλογημένος ὁ καθήμενος ἐπὶ θρόνου δόξης βασιλείας σου. Καὶ καθίσαντος τοῦ ἱερέως θυμιᾷ ὁ διάκονος κύκλῳ τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἱερέα.* The gospel is read; the priest rises and says the prayer Ἔλλαμψον. [P has no notice of the dismissal of the catechumens.]

(e) R is slightly different.

ELEVENTH CENTURY.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας φῶς ἀκήρατον, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, τὴν πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SIXTEENTH CENTURY.

Καὶ ὁ διάκονος αὖθις·

L Προσχῶμεν.

Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς·

Εἰρήνη σοί.

Ὁ *διάκονος.* Σοφία.

Καὶ ὁ χορὸς τὸ Ἀλληλούϊα, Ψαλμὸς τῷ Δαυΐδ.

(a) *Καὶ λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, πρόσεισι τῷ ἱερεῖ, λέγων·*

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Τοῦ δὲ ἱερέως εὐλογοῦντος καὶ τὴν εὐχὴν εἰπόντος ταύτην,

Θυμίαμά σοι προσφέρομεν, Χριστέ, ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ παναγίου σου Πνεύματος, πάντοτε, νῦν κ.τ.λ. Ἀμήν.

Θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν γύρωθεν
(b) *καὶ τὸ ἱερατεῖον ὅλον καὶ τὸν ἀέρα.* Καὶ *μετὰ τοῦτο, τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα, καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει·*

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν L (c)
τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (*τοῦδε*).

Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου L
Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (*τοῦδε*) δῴη σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τῷ εὐαγ-
γελιζομένῳ δυνάμει πολλῇ. (d)

Καὶ ὁ διάκονος εἰπὼν τὸ Ἀμήν, *καὶ προσκυνήσας μετ' εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, προπορευομένων*
καὶ λαμπάδων καὶ θυματῶν, ἔρχεται καὶ ἵσταται (e)
ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ *δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ·*

Σοφία. ὀρθοί. ἀκούσωμεν τοῦ ἁγίου L
εὐαγγελίου.

(*a*) H, B omit this and also the prayer in the offering of the incense.

(*b*) The language of this rubric is different in H and B, which read *τὸν ἱερέα* for *τὸν ἀέρα*. After these words the prayer before the gospel, Ἔλλαμψον, follows in both, as in the Latin of Leo Thuscus; then the remainder of this rubric and the blessing on the reader.

(*c*) In C we have *ὁ δεῖνα εὐαγγελιστὴς εὐαγγελίζεται.*

(*d*) H, B add *εἰς ἐκπλήρωσιν τοῦ εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.*

(*e*) M, *καὶ θυμιαμάτων*

ELEVENTH CENTURY.

Μετὰ δὲ τὸ εὐαγγέλιον λέγει ὁ διάκονος·

L (1) Εἴπωμεν πάντες· ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν·

L Κύριε Παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

L Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ Δ. ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. (2)

Ἔτι δεόμεθα καὶ ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. L

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ιϛ'. (3)

(1) The corresponding prayers in the Latin of Leo Thuscus may be seen in Morel, p. 55. The general order is different.

(2) Six lines are omitted in ι. 10.

(3) This prayer is found in each of the two liturgies of the Barberini codex, being numbered respectively Η' and ΙΘ'. In Morel's Latin it is on page 55.

SIXTEENTH CENTURY.

Καὶ ὁ διάκονος. Ἐκ τοῦ κατὰ (*τόνδε*) ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα.

L *Καὶ ὁ ἱερεύς.* Πρόσχωμεν.

Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς·

(a) Εἰρήνη σοι.

Καὶ ὁ διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. Εἶτα ἐν τῷ συνήθει τόπῳ στὰς ἄρχεται οὕτως·

L Εἴπωμεν πάντες, ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν·

Ὁ χορός. Κύριε, ἐλέησον.

L *Ὁ διάκονος.* Κύριε Παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός. Κύριε, ἐλέησον. L

Ὁ διάκονος. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον.

Ὁ χορός. Κύριε, ἐλέησον. L (b)

Ὁ διάκονος. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν· καὶ τὸν Κύριον καὶ τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην, μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, *ut supra.* L (c)

(*a*) H, B *εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.*

(*b*) H, B omit this prayer. It is on page 56 of Morel's Latin.

(*c*) H, B interpolate the following (but B omits the first clause).

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτητόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας,

ELEVENTH CENTURY.

L Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱόν, καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ·

Ἐκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος.

L Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μήτις τῶν κατηχουμένων. ὅσοι (1) πιστοὶ ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ πιστῶν α' μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν. (2)

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν L (3) δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν ιϛ'. 5
διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴῃς ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

(1) Leo Thuscus, p. 56, *Extra cancellos dicit.* Nullus catechumenorum, sed soli fideles remaneant.

(2) Leo Thuscus: Sacerdos dicit orationem corporalis.

(3) This is found in the Barberini codex, ΚΑ'.

SIXTEENTH CENTURY.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, *ut supra.*

Ὁ χορός. Ἀμήν.

(a) *Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητόν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει.*

L (b) *Ὁ διάκονος.* Ὅσοι κατηχούμενοι προέλθετε, *ut supra.*

L *Ὁ χορός.* Κύριε, ἐλέησον.

Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

L Εὐχαριστοῦμέν σοι, *ut supra.*

(a) H and R have simply *καὶ ἐξαπλοῖ τὸ εἰλητὸν ὁ ἱερεύς.*

(b) Ducas and Morel have *προσέλθετε* three times. This must be an error for *προέλθετε.*

ELEVENTH CENTURY.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ. Σοφία.

Ἐκφώνως.

L Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ πιστῶν β'.

L (1) Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δέ, ὁ Θεός, τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ.

Σοφία.

Ἐκφών. Ὅπως ὑπὸ τοῦ κράτους σου L πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καί.

(1) This is numbered KB' in the Barberini codex.

SIXTEENTH CENTURY.

(a) *Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθει τόπῳ.*

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τῆς ἁγίας μόνης ταύτης κ.τ.λ. as on page 110, four petitions.

Ὁ διάκονος. Ἀντιλαβοῦ, κ.τ.λ.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Σοφία.

Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι πρέπει σοι, κ.τ.λ.

Ὁ χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις, *ut supra.* L

(b) *Εὐχομένου τοῦ ἱερέως ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος.*

Ὁ ἱερεὺς ἐκφώνως. Ὅπως ὑπὸ τοῦ κράτους σου, *ut supra.* L

Ὁ χορός. Ἀμήν.

(c) *Μετὰ τὴν ἐκφώνησιν λέγει τὴν εὐχὴν καθ' ἑαυτόν, καὶ οἱ μὲν ψάλται ψάλλουσιν τὸν χερουβικόν ὕμνον.*

(a) H and R omit the εἰρηνικά.

(b) This direction also is omitted in H and R, who simply give the Ἀντιλαβοῦ and Σοφία.

(c) The rubric in the Latin states that here they pass to the table of prothesis, and from thence to the altar: three deacons carrying the patens and the breads, the rest carrying the chalices, all singing the Cherubic hymn. This hymn is given in Dr Daniel, Mr Hammond and the Roman edition thus.

Μετὰ τὴν ἐκφώνησιν οἱ ψάλται ψάλλουσι τὸν χερουβικὸν ὕμνον.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον ᾄδοντες πᾶσαν

ELEVENTH CENTURY.

L (1) *Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτόν, τοῦ χερουβικοῦ ᾀδομένου.*

L (2) Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρα-
(3) νίαις δυνάμεσιν· ἀλλ' ὅμως, διὰ τὴν ἄφατον
(4) καὶ ἀμετρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρηματίσας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας
(5) τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης
(6) τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ Βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. σοὶ γὰρ προσέρ-

ιϛ'. L

(1) I. 10 has *εὐχὴ ἣν εὔχεται καθ' ἑαυτὸν ὁ ἱερεύς.*

This is the rubric in the Latin (p. 65). Pro januis cancellorum a dextris et sinistris unusquisque dicit orationem mysteriorum in silentio, introeuntes ad sanctam mensam. Oratio quam facit pro se sacerdos dum cherubim (*sic*) hymnus a populo decantatur.

(2) This is numbered IB' in the Barberini S. Basil, but it has been altered for doctrinal purposes.

(3) B. *δυνάμεσιν ἀπρόσιτον.*

(4) B. *τὴν σὴν ἄφατον φιλανθρωπίαν.*

(5) – *ἡμῖν*. B.

[A quire is missing here from I. 10. I have however taken my notes of the rubrics from the corresponding parts of the Liturgy of S. Basil as contained in that MS.]

(6) – *μόνος, Κύριε ὁ Θεὸς ἡμῶν,* B.

(7) – *καὶ καθάρισον...πονηρᾶς,* B.

(8) – *καὶ ἄχραντον* B.

(9) *σοὶ γὰρ κλίνω,* B.

SIXTEENTH CENTURY.

βικὸν ὕμνον, ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ μετὰ θυμιάματος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς κύκλῳ, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα· καὶ μετὰ τοῦτο ἵσταται ἐν τῇ ἀριστερᾷ τοῦ ἱερέως εὐλαβῶς.

τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

(*a*) H *λέγουσι καὶ αὐτοὶ τὸν χερ. ὕ.* R *λέγουσι καὶ αὐτοὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος.* They proceed

Εἶτα λαβὼν ὁ διάκονος τὸν θυμιατόν, καὶ θυμίαμα βαλών, πρόσεισι τῷ ἱερεῖ· καὶ λαβὼν εὐλογίαν

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος, *ut supra.* Ἀμήν.

Πληρωθείσης δὲ τῆς εὐχῆς, εὔχονται ὁμοῦ τὸν χερουβικὸν ὕμνον καὶ τὸν ν' ψαλμὸν μυστικῶς·

παρ' αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἱερέα· λέγει δὲ καὶ τὸν πεντηκοστόν, καὶ τροπάρια κατανυκτικὰ ὅσα καὶ βούλεται, ὁμοῦ μετὰ τοῦ ἱερέως, καὶ ἀπέρχονται ἐν τῇ προθέσει, ut supra.

M notes that they adore three times whilst they are saying the Cherubic hymn.

ELEVENTH CENTURY.

* * * * * *

SIXTEENTH CENTURY.

δεξιᾷ αὐτοῦ ἐνὶ δακτύλῳ τὸ θυμιατήριον, καὶ διερχόμενοι τὸν ναὸν εὔχονται ἀμφότεροι ὑπὲρ πάντων λέγοντες·

Μνησθείη Κύριος ὁ Θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν.

Ὁ χορός. Ἀμήν.

(a) *Καὶ πολλάκις τοῦτο λέγουσιν ἕως ἂν πληρωθῇ ἡ μεγάλη εἴσοδος· εἰσερχόμενοι δὲ τὸ ἅγιον βῆμα λέγουσιν·*

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα ὁ ἱερεὺς ἀποτιθεὶς τὰ ἅγια λέγει· (b)

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ἁγίου ποτηρίου, τὸν δὲ ἀέρα (c)

των [καθ' ἑαυτοὺς R], καὶ λέγοντες·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς κ.τ.λ.

(*a*) For this H and R have

Εἰσελθὼν δὲ ὁ διάκονος ἔνδον τῶν ἁγίων θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλλοντος τοῦ ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ διάκονος·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱεροδιακονίας σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν.

Καὶ ὁ μὲν ἱερεὺς ἀποτίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ τραπέζῃ· τὸν δὲ ἅγιον δίσκον λαβὼν ἀπὸ τῆς τοῦ διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν τῇ ἁγίᾳ τραπέζῃ, λέγων·

Ὁ εὐσχήμων Ἰωσὴφ, κ.τ.λ.

[R adds *ἀλλὰ τριήμερος ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.* M has the words of the deacon and priest with simpler rubrics.]

After which they proceed

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, κ.τ.λ. as above, p. 109.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

(*b*) Morel's copy interposes here *εἶτα ὁ διάκονος πάλιν πρὸς τὸν ἱερέα τὴν κεφαλὴν ὑποκλίνας λέγει, Μνήσθητί μου δέσποτα ἅγιε τοῦ ἁμαρτωλοῦ. καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεός, ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν. εἶτα ἀποτίθεται καὶ αὐτὸς τὸ ἅγιον ποτήριον ἐν τῇ ἱερᾷ τραπέζῃ, ἐπιλέγων καὶ τὸ τροπάριον τόδε. Ὁ εὐσχήμων.*

There is a curious direction in an early printed copy given by Goar, and from him by Daniel, directing the priest in the great entrance to be careful not to touch with his foot the sick people who might be lying on the floor of the church: he must pray for them.

(*c*) The Rubric in H and R is similar, adding however that the priest places the discus and cup *ἐν ἑνὶ μέρει τῆς ἁγίας τραπέζης.* The directions up to the petition *εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα ἅγιε* in H are these.

Καὶ λαβὼν τὸν θυμιατὸν ἐκ τῶν τοῦ διακόνου χειρῶν, θυμιᾷ τὰ ἅγια τρίς, λέγων·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ἀποδοὺς τὸν θυμιατόν, καὶ χαλάσας τὸ φελώνιον, κλίνας τε τὴν κεφαλήν, λέγει πρὸς τὸν διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ διάκονος πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Εἶτα ὁ διάκονος ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν ἱερέα·

Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

R repeats *ὁ εὐσχήμων Ἰωσὴφ* before the

ELEVENTH CENTURY.

τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικάς, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

L Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου
(1) αἰτησώμεθα.

L Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

L Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν L ιϛ'. 7
εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, L
ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν Χριστῷ τῷ Θεῷ παραθώμεθα. L

Ἐκφώνως·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. L (2)

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. L

(1) l. 10 adds here (see above) ἄγγελον εἰρήνης, κ.τ.λ., as does L.

(2) The Liturgy from this point follows closely the second liturgy of the Barberini codex.

SIXTEENTH CENTURY.

Ὁ διάκονος. Ἀντιλαβοῦ.

Ὁ χορός. Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν.

(a) Ὁ χορός. Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης.

Συγγνώμην.

Τὰ καλὰ καί.

Τὸν ὑπόλοιπον.

Χριστιανὰ τὰ τέλη.

Τῆς παναγίας.

Ὁ χορός. Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως. Διὰ τῶν οἰκτιρμῶν, *ut supra*.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

(a) The words Παράσχου, Κύριε are repeated after each invitation from the priest.

ELEVENTH CENTURY.

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ ἱερεὺς κλίνας ἐπεύχεται.

(1) Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν σου τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγ- ιϛ' — 8
γέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβίμ, καὶ τὰ Σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφών. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα,

Ὁ λαός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ. (2)

Ὁ δὲ ἱερεὺς κλίνας ἐπεύχεται·

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυ- L (3)
νάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ

(1) I. 10 fails us here.

(2) Leo Thuscus adds that the subdeacons here say "quicunque estis fideles, orate."

(3) B. omits μακαρίων.

SIXTEENTH CENTURY.

(a) Ὁ χορός. Ἔχωμεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

(b) Ὁ χορός. Ἄξιον καὶ δίκαιον ἐστὶ προσκυνεῖν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον, καὶ δίκαιον, σὲ ὑμνεῖν, *ut supra.*

Ἐκφώνως.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα,

Ὁ χορός.

Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

(c) Ὁ διάκονος δὲ λαμβάνει τὸν ἀστερίσκον, καὶ ποιεῖ σταυροειδῶς ἐπὶ τοῦ ἁγίου δίσκου, καί, σπογγίσας αὐτὸν ἐπὶ εἰλητοῦ καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. εἶτα μεταβαίνει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ ῥιπιδίου εὐλαβῶς. εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. ἐπεύχεται μυστικῶς ὁ ἱερεύς·

Μετὰ τούτων, *ut supra, usque ad* εἰπών.

(a) Modern editions have ἔχομεν.

(b) B has only ἄξιον καὶ δίκαιον.

(c) H and B have more simply, Ἐνταῦθα πάλιν λαβὼν ὁ διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ, καὶ ἀσπασάμενος αὐτὸν ἀποτίθησιν. Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

ELEVENTH CENTURY.

λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σύ, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις
(1) χερσίν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκεν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Ἐκφών. Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ L
τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Μυστικῶς. Ὁμοίως καὶ τὸ ποτήριον μετὰ L
τὸ δειπνῆσαι, λέγων·

Ἐκφών. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο ἐστὶ τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης L

(1) *ἔκλασεν καὶ ἔδωκεν*, B. These words of institution seem to have been adopted from the Barberini S. Basil.

SIXTEENTH CENTURY.

(a) *Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων·*

(b) Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός. Ἀμήν.

(c) *Ὁ δὲ διάκονος ἁπτόμενος τοῦ ἰδίου ὠραρίου, δεικνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον· ὁμοίως καὶ ἐπὶ τοῦ ἁγίου ποτηρίου. ὡσαύτως καὶ ὅταν ἀναφωνεῖ ὁ ἱερεύς,* Τὰ σὰ ἐκ τῶν σῶν.

Ὁ ἱερεὺς μυστικῶς·

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Ἐκφώνως ὁ ἱερεύς, τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ (d)
εὐλαβείας καὶ εὐλογῶν, λέγει·

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο ἐστὶ τὸ (e)
αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλήν, ἐπεύχεται μυ- (f)
στικῶς·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης

(a) H has simply *ἐκφώνως*. R *ἐκφώνησις*.

(b) The MS. C has *τοῦτο γὰρ*.

(c) H and R have this, *Τούτου δὲ λεγομένου, δεικνύει τῷ ἱερεῖ ὁ διάκονος τὸν ἅγιον δίσκον, κρατῶν καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς· ὁμοίως καὶ ὅταν λέγει ὁ ἱερεὺς τό·* Πίετε ἐξ αὐτοῦ *πάντες, συνδεικνύει καὶ αὐτὸς τὸ ἅγιον ποτήριον.*

(d) H and R *ἐκφώνως* or *ἐκφώνησις*.

(e) The MS. C has *τοῦτο γάρ ἐστιν τὸ ποτήριον τοῦ αἵματός μου, καινῆς καὶ αἰωνίου διαθήκης, μυστήριον πίστεως, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν*. Then the *μεμνημένοι*, which is followed immediately by the words *Ἀνανεύσας οὖν καὶ τρίτον τὰ δῶρα σφραγισάμενος λέγει·* Καὶ *ποίησον τὸν μὲν ἄρτον τοῦτον...καὶ τὸ ἐν τῷ ποτηρίῳ...μεταβαλὼν...ὥστε γενέσθαι*, as below, p. 130.

(f) H has simply *ὁ ἱερεὺς ἐπεύχεται.*

ELEVENTH CENTURY.

ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

L 'Εκφών. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα, καὶ διὰ πάντα,

L 'Ο λαός. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν.

'Ο ἱερεὺς κλίνας ἐπεύχεται·

L Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα·

Καὶ ἀνιστάμενος σφραγίζει τρὶς τὰ ἅγια δῶρα λέγων·

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου, L ιζ'. 1

'Ο διάκονος. 'Αμήν.

SIXTEENTH CENTURY.

ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

'Εκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

'Ο χορός.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

'Ο ἱερεὺς πάλιν κλίνας τὴν κεφαλήν, ἐπεύχεται μυστικῶς·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

'Ο διάκονος ἀποτίθησι τὸ ῥιπίδιον ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τὸ 'Ο Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ λέγουσι μυστικῶς τρίς,

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο, 'Αγαθέ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν.

Καὶ τό, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, (b) ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. (c)

Εἶτα, τὴν κεφαλὴν κλίνας, ὁ διάκονος δείκνυσι σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον καὶ λέγει μυστικῶς·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς·

Ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου, L

'Ο διάκονος. 'Αμήν.

Καί, Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Καὶ αὖθις τό, Κύριε, ὁ τὸ πανάγιον, κ.τ.λ.

(a) H has simply ὁ ἱερεὺς ἐπεύχεται.

(b) B prefixes Στιχ. here.

(c) H and B interpose καὶ πάλιν· Κύριε, ὁ τὸ πανάγιον, κ.τ.λ.

ELEVENTH CENTURY.

L (1) Ὁ ἱερεύς. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου,

Ὁ διάκονος. Ἀμήν.

L Ὁ ἱερεύς. Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

L Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν, εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς δικαίου ἐν πίστει τετελειωμένου, L

Ἐκφών. Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· L

(1) B has here, as well as below, *μεταβαλὼν... τῷ ἁγίῳ*. [The modern language seems to be nearly identical with that of the Barberini codex.]

SIXTEENTH CENTURY.

Καὶ αὖθις ὁ διάκονος,

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ὁ δὲ ἱερεὺς εὐλογῶν, λέγει·

L Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου,

Ὁ διάκονος. Ἀμήν.

(a) *Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠραρίου ἀμφότερα τὰ ἅγια, λέγει·*

Εὐλόγησον, δέσποτα.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει·

L Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ διάκονος. Ἀμήν, Ἀμήν, Ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ καὶ εἰπὼν τό,

Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ,

μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις, ὡς τὸ πρότερον. (b)

Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν, *ut supra.* L

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, *ut supra.* L (c)

Ὁ ἱερεὺς ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· L (d)

Ὁ χορὸς ψάλλει· Ἄξιόν ἐστιν ὡς ἀληθῶς *μακαρίζειν σὲ τὴν θεοτόκον, ἢ τὸ τῆς ἡμέρας.* (e)

(a) + *τὰ ἀμφότερα* R.

(b) H adds *ῥιπίζει τὰ ἅγια.*

(c) H interposes here *Ὁ δὲ διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.* The MS. C has this, *καὶ θυμιῶν τὰ ἅγια καὶ τὰς χεῖρας εἰς ὕψος αἴρων, ὁ ἱερεὺς ἐκφωνεῖ, λέγων.*

(d) C adds here the *Χαῖρε κεχαριτωμένη*, as in the Rossano S. Mark, and mentions *τῶν τιμίων ἀσωμάτων, ἐπουρανίων δυνάμεων* before the Baptist.

(e) H omits these two lines. R gives the

ELEVENTH CENTURY.

Ὁ διάκονος. Τὰ δίπτυχα τῶν κεκοιμημένων.

Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται·

L Τοῦ ἁγίου Ἰωάννου, τοῦ προφήτου, προδρόμου, καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Μνήσθητι, Κύριε, τῶν ψυχῶν τῶν προκεκοιμημένων δούλων σου, σήλβεστρου ἱερομονάχου, θωμαῒς πρεσβυτέρου, ματθαίου,

Ἐνταῦθα μνημονεύει οὓς θέλει

καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ L
φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, L
πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην L

SIXTEENTH CENTURY.

(a) *Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα· τῶν τε κεκοιμημένων καὶ ζώντων ὧν βούλεται μνημονεύει. Ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς·*

L Τοῦ ἁγίου Ἰωάννου προφήτου, προδρόμου,
(b) καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων· τοῦ ἁγίου (τοῦ δεῖνος) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν σου ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

(c) *Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει καὶ ζώντων καὶ τεθνεώτων.*

Ὑπὲρ ζώντων λέγει· Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος).

Ὑπὲρ τεθνεώτων λέγει· Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμός. Ἀνάπαυσον αὐτήν, ὁ Θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτήν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· Μνήσθητι, Κύριε, L
πάσης ἐπισκοπῆς, κ.τ.λ.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην (d)
λατρείαν ὑπὲρ τῆς οἰκουμένης, κ.τ.λ.

μακαρισμὸς thus. *Σὲ τὴν θεοτόκον τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν· τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως θεοτόκον, σὲ μεγαλύνομεν.*

(*a*) See the note (*c*), p. 131. H has here simply *Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν κεκοιμημένων.*

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

(*b*) *ἁγίων ἐνδόξων.* H, R.

(*c*) H omits all to the words *καὶ ἀνάπαυσον.* R agrees with Ducas.

(*d*) The codex P introduces the following: *[ὑπὲρ] Ἰωσὴφ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, Φιλοθέου Ἀλεξανδρείας, Μάρκου Ἀντιοχείας, Θεοφίλου Ἱεροσολυμῶν· καὶ ὑπὲρ του προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ τῷ Θεῷ τοῦ δεῖνος, τοῦ ἐντιμωτάτου ἱερέως, τῶν συμπαρόντων ἱερέων, τοῦ τιμίου πρεσβυτερίου...ὑπὲρ σωτηρίας, κράτους, νίκης καὶ διαμονῆς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν, τῆς εὐσεβεστάτης καὶ*

ELEVENTH CENTURY.

λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ
(1) τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν
1 Tim. 2 τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφών. Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἐπισκόπου ἡμῶν (τοῦ Δ.), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας. L (2)

Ὁ διάκονος. Τὰ δίπτυχα τῶν ζώντων.

Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει κατοικούντων ἐν αὐταῖς. L

(1) The words *ὑπὲρ τῶν ἐν ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς* and *τῆς φιλοχρίστου βασιλίσσης* have disappeared here from the older version (see p. 92).

(2) In L the prayer is for the Archbishop.

SIXTEENTH CENTURY.

(a) *Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος, κρατῶν τὸ ὠράριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει·*

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ χορὸς ψάλλει· Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐκφωνεῖ·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (*τοῦ δεῖνος*), ὃν χάρισαι, κ.τ.λ.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στάς, λέγει·

(b) Τοῦ (δεῖνος) πανιερωτάτου μητροπολίτου ἢ ἐπισκόπου, *ὅστις ἂν ᾖ.*

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως (τοῦ δεῖνος). L (c)

Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν.

Ὁ χορός. Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, κ.τ.λ. L

φιλοχρίστου δεσποίνης Ὑπομονῆς μοναχῆς καὶ τῆς εὐσ. καὶ φιλοχρίστου δεσποίνης Εὐγενίας μοναχῆς, τῶν εὐ. καὶ φ. βασιλέων ἡμῶν Ἰωάννου καὶ Μαρίας· ὑπὲρ εἰρήνης .... τοῦ σύμπαντος κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν· ὑπὲρ λυτρώσεως τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ, σωτηρίας τοῦ περιεστῶτος λαοῦ καὶ πάντων καὶ πασῶν. καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, ut supra. The names fix the date of the liturgy between 1426 and 1443.

(*a*) H, R omit six lines.

(*b*) *τοῦ πατριάρχου.* H, R. R adds a note *ἐὰν ἐν κοινωνίᾳ τῆς παλαιᾶς Ῥώμης, σημείωσαι τὸ εἰρημένον ἐν τῇ ἀρχῇ,* i.e. *τοῦ τῆς Ῥώμης ἀρχιερέως πρώτως δεῖ μνημονεύειν. εἶτα καὶ τοῦ ἰδίου Ἐπισκόπου καὶ Πατριάρχου, ἐὰν καθολικοὶ ὦσιν· εἰ δὲ αὐτῶν ἕτερος ἢ ἑκάτεροι σχισματικοὶ εἴτε αἱρετικοί, μηδεμία αὐτῶν γένοιτο ἀνάμνησις.*

(*c*) Instead of the next six lines H, R have *Εἶτα μνημονεύει ὁ αὐτὸς τὰ δίπτυχα τῶν ζώντων.*

In L we have the following; Post hanc sacerdotis pronunciationem, diaconus qui sanctum evangelium dicit, acutiori voce profert, si fuerit aliqua magna festivitas: Nicolai sanctissimi et universalis papæ longa sint tempora: Eleutherii Alexandriæ, Cyrilli Antiochiæ, Leontii Hierosolymorum longa sint tempora. Then

ELEVENTH CENTURY.

L Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν.

L Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον·

L Ἐκφών. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

L Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

(1) B had here ὁ διάκονος πάντων τῶν ἁγίων which has reappeared since.

Ὁ διάκονος. (1)

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν· L

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικαταπέμψῃ ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν. L (2)

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κ.τ.λ. L

Ὁ ἱερεὺς κλίνας ἐπεύχεται· L

(2) I. 10 recommences here.

SIXTEENTH CENTURY.

L Μνήσθητι, Κύριε, πλεόντων, κ.τ.λ.

L Μνήσθητι, Κύριε, τῶν καρποφορούντων,

(a) κ.τ.λ.

L Ἐκφώνως. Καὶ δὸς ἡμῖν, κ.τ.λ.

Ὁ χορός. Ἀμήν.

(b) Ὁ ἱερεὺς ἐπιστρέφει πρὸς τῇ θύρᾳ καὶ εὐλογῶν λέγει ἐκφώνως· Καὶ ἔσται τὰ ἐλέη, κ.τ.λ.

L Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ διάκονος ἐξέρχεται εἰ ἔστιν. εἰ δ' οὐχ, ὁ ἱερεὺς· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει· (c)

Πάντων τῶν ἁγίων μνημονεύσαντες, κ.τ.λ. L

Ὁ χορός. Κύριε, ἐλέησον. (d)

Ὁ διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων. L

Ὁ διάκονος. Ὅπως ὁ φιλάνθρωπος. L

Ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι. L

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς·

the prayers for the priest who celebrates, and for the king, pro imperio in victoria et perseverantia piissimorum et in Christo delectorum imperatorum N. et N. Alexii magni imperatoris et Porphyrogeniti et pro pace et bono statu totius mundi et sanctarum ecclesiarum. Et pro redemptione fratrum nostrorum captivorum: et pro ea quæ Christum diligit militia et pro universis fidelibus Dominum deprecemur.

(a) C adds μνήσθητι, Κύριε, καὶ πάντων τῶν ἐν πειρασμοῖς καὶ ἐν νόσοις καὶ ἐν κινδύνοις καὶ ἐν πάσαις κακώσεσι συνεχομένων χριστιανῶν ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος (as on p. 92, note c), καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλουμένων τὸ ἅγιόν σου θυσιαστήριον.

(b) The movement of the priest is not enjoined in H or R.

(c) H and R Ὁ δὲ διάκονος λαβὼν καιρὸν παρὰ τοῦ ἱερέως, καὶ ἐξελθών, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

(d) This is repeated at each invitation.

ELEVENTH CENTURY.

L Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς
. 3 τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

) Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ.

Τὴν ἡμέραν πᾶσαν τελείαν, κ.τ.λ.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, κ.τ.λ.

Συγγνώμην καὶ ἄφεσιν, κ.τ.λ.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς, κ.τ.λ.

Τὸν ὑπόλοιπον χρόνον, κ.τ.λ.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, κ.τ.λ.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐπουράνιον Θεόν, Πατέρα καὶ λέγειν· L

Ὁ λαός. Πάτερ ἡμῶν ὁ ἐν τοῖς. (2)

Ὁ ἱερεὺς ἐκφών. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. L

Εἰρήνη πᾶσιν. L

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. L

Ὁ ἱερεὺς κλίνας ἐπεύχεται·

(1) The first two petitions were in B.

(2) I. 10 omits this.

(d) *Ὁ χορός.* Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεὺς ἐκφώνως. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός. Ἔχωμεν πρὸς τὸν Κύριον. (e)

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός. Ἄξιον καὶ δίκαιον ἐστὶ προσκυνεῖν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Ὁ Ὤν, Δέσποτα, Κύριε, Θεέ...ἡ πρὸ (f)
αἰώνων Σοφία,...δοξολογίαις...λέγοντα.

Ὁ χορός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος. ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

(a) This is missing in most MSS.

(b) C, *ὁ λαὸς τὸ ἅγιον σύμβολον·* Πιστεύω. B *ὁ λαός.*

(c) B omits this.

(d) Morel has *ἔλαιον εἰρήνης*.

(e) The Modern Text is *ἔχομεν*. [Morel has *ἔχωμεν*.]

(f) H, *Θεὸς ἀληθινὸς πρὸ αἰώνων, Σοφία.*

ELEVENTH CENTURY.

(1) *Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.*

[80] Μετὰ τούτων τῶν μακαρίων δυνάμεων,...

[81] ...ἀποστήσας ἡμᾶς......προσήγαγε τῇ ἐπι-
γνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός,
......καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας
ιθ'. 1 τῷ Πνεύματι τῷ ἁγίῳ,......κατέλιπε δὲ ἡμῖν
ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους,
(2) ταῦτα, ἃ καὶ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ
ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκού-
σιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνα-
τον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς
τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν
ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀνα-
δείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, εὐχαριστή-
σας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ἐκφών. Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθη-
[82] ταῖς καὶ ἀποστόλοις, εἰπών· Λάβετε, φά-
γετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ
ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ ἱερεὺς μυστικῶς. Ὁμοίως καὶ τὸ ποτή-
ριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών,
κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιά-
σας,

Ἐκφών. Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθη-
ταῖς καὶ ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ
πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς
καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν
ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται. (3)

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. [83]
ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον,
καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν
θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν
ὁμολογεῖτε.

(1) Ι. 10 *κλίνας* here and elsewhere. B M 3 begins here.

(2) Ι. 10 omits *καί*. It will be remembered that the Barberini MS. failed us here. B M 1 furnished the text of pages 82—84.

(3) B M 1 omits this. Ι. 10 as usual *κλίνας*.

SIXTEENTH CENTURY.

(a) *Κἀνταῦθα ὁ διάκονος τὰ αὐτὰ ποιεῖ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.*

Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε...εἰς τοὺς οὐρανούς— ταῦτα ἃ προτεθείκαμεν...κλάσας,

(b) *Ὁ ἱερεὺς κλίνει τὴν κεφαλήν, καὶ αἴρων τὴν δεξίαν αὐτοῦ μετ' εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων·*

Ἔδωκε...ἁμαρτιῶν.

Ὁ χορὸς ψάλλει· Ἀμήν.

Ὅ τε ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτα κἀνταῦθα τῇ τοῦ Χρυσοστόμου. Ὁ ἱερεὺς μυστικῶς. (b)

Ὁμοίως...ἁγιάσας,

Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας καὶ εὐλογῶν, λέγει· (c)

Ἔδωκε...ἁμαρτιῶν.

Ὁ χορὸς ψάλλει· Ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς· (d)

Τοῦτο ποιεῖτε......προσφέροντες......διὰ πάντα.

(a) Omitted in the MSS.

(b) Goar notes that these rubrics are missing in all the MSS. H has *ὁ ἱερεὺς αἴρων τῇ δεξιᾷ αὐτοῦ δεικνύει τὸν ἅγιον δίσκον, λέγων ἐκφώνως.*

(c) H, *καὶ αἴρων τῇ δεξιᾷ δεικνύει ὁμοίως μετ' εὐλαβείας τὸ ἅγιον ποτήριον, λέγων ἐκφώνως.*

(d) As before.

ELEVENTH CENTURY.

[82] Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας,

Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα, καὶ διὰ πάντα,

(1) *Ὁ λαός.* Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν.

(2) *Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.*

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ
ιθ'. 2 καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν,
(3) οὐ γὰρ ἐποιήσαμεν ἐνώπιόν σού τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως [83]
ἐφ' ἡμᾶς, θαῤῥοῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, Ἅγιε Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι,

Καὶ ἀνιστάμενος σφραγίζει τρίτον τὰ ἅγια δῶρα [82]
ὁ ἱερεὺς λέγων,

Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

(1) I. 10 omits this.
(2) B M 1 omits this. I. 10, as usual, *κλίνας*.
(3) I. 10 omits *ἐνώπιόν σου.*

SIXTEENTH CENTURY.

Ὁ χορὸς ψάλλει τό· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε· καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ ἱερεύς, κλίνας τὴν κεφαλήν, εὔχεται μυστικῶς·

Διὰ τοῦτο......καὶ προσθέντες......ἀναδεῖξαι.

(a) *Ὁ διάκονος ὑποτίθησι τὸ ῥιπίδιον ὅπερ ἐκράτει ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τό,*

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· *λέγουσι μυστικῶς τρίς·*

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο, ἀγαθέ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν.

Καὶ τό· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος δείκνυσι τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς·

Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον (b)
σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

(a) Goar notes that the next fifteen lines are not to be found in one MS. B reads *ἀποτίθησι.*
(b) Later editions (not B nor H) have inserted *ποίησον* between *ἄρτον τοῦτον* and *αὐτὸ τὸ τίμιον σῶμα*. Goar's note as to G 1 is perplexing. He first states that all the MSS. omit the following words and then apparently contradicts his statement.

ELEVENTH CENTURY.

'Ο *διάκονος.* 'Αμήν.

(1) 'Ο *ἱερεύς.* Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ,

'Ο *διάκονος.* 'Αμήν.

'Ο *ἱερεύς.* Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

'Ο *διάκονος.* 'Αμήν.

[82] (2) 'Ο *ἱερεὺς κλινόμενος ἐπεύχεται.*

'Ημᾶς δὲ πάντας, τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου
(3) καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα
ποιήσαις μετασχεῖν τοῦ ἁγίου σώματος καὶ (4)
αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύ-
ρων, ὁμολογητῶν, διδασκάλων, καὶ παντὸς [83]
πνεύματος δικαίου ἐν πίστει τετελειωμένου,

'Εκφώνησις. 'Εξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας·

(1) G 2 *τὸ δ' ἐν τῷ ποτηρίῳ τούτῳ.* M omits 'Αμήν.

(2) B M 1 *ὁ ἱερεύς*, simply. I. 10 *κλίνας.*

(3) I. 10 *ἑνῶσαι.* (4) I. 10 *ποιῆσαι.*

SIXTEENTH CENTURY.

'Ο *διάκονος.* 'Αμήν.

Καὶ *αὖθις ὁ διάκονος.* Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

'Ο *δὲ ἱερεὺς εὐλογῶν, λέγει*·

Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ, 'Ο *διάκονος.* 'Αμήν.

'Ο *ἱερεύς.* Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

'Ο *διάκονος.* 'Αμήν. *Καὶ αὖθις ὁ αὐτὸς δεικνύων μετὰ τοῦ ὠραρίου τὰ ἅγια ἄμφω, λέγει*·

(a) Εὐλόγησον, δέσποτα.

'Ο *δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει*·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

'Ο *διάκονος,* 'Αμήν, *τρίς.*

Καὶ τὴν κεφαλὴν ὁ διάκονος ὑποκλίνας τῷ ἱερεῖ, καὶ εἰπὼν τό,

Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ,

μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις, ὡς πρότερον.

'Ο *δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς*·

'Ημᾶς δὲ πάντας, τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας,......πίστει τετελειμένου,

'Εκφώνησις. 'Εξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας·

'Ο *χορὸς ψάλλει,* 'Επὶ σοὶ χαίρει. (b)

(a) + *τὰ ἀμφότερα.* R H.

(b) This hymn is in the printed copies of the Liturgy of S. James. The following is a copy. It is given at length in R.

'Επὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέ-

ELEVENTH CENTURY.

[83] (1) Ὁ *διάκονος.* Τὰ δίπτυχα τῶν κεκοιμημένων.

Ὁ *ἱερεὺς κλινόμενος ἐπεύχεται.*

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ
ιθ'. 3 πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦ Δ., οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς
αἰωνίου. μνήσθητι, Κύριε, τὰς ψυχὰς τῶν (2)
προκεκοιμημένων δούλων σου, Σηλβέστρου ἱερομοναχοῦ, Ματθαίου, Θωμαΐς......

(1) B M 1 *τῶν θανόντων.* It begins with making mention of the angels Michael and Gabriel and the heavenly powers, p. 83.

I. 10 interposes *ὁ ἱερεὺς κλίνας ἐπεύχεται.* G 2 omits the rubric.

(2) These names are found only in this MS. Others were written in the margin of I. 10 but subsequently erased. The Latin passes on to the prayer for the church.

SIXTEENTH CENTURY.

(a) *Εἰ δέ ἐστιν ἡ μεγάλη πέμπτη, ψάλλει·*

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

(b) *Εἰ δέ ἐστι τὸ μέγα σάββατον, ψάλλει.*

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι καὶ δοθῆναι τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον, Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Ὁ *διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα, τῶν τε ζώντων καὶ κεκοιμημένων ὧν βούλεται μνημονεύει.*

Ὁ *δὲ ἱερεὺς εὔχεται μυστικῶς.*

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ· Τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων· Τοῦ ἁγίου τοῦ
Δ., οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ (c)
πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει, ὧν θέλει, ζώντων καὶ τεθνεώτων, καὶ ὑπὲρ μὲν ζώντων λέγει· (d)

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως

γονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

I understand Goar as stating that the MSS. do not contain either this hymn or the following. C has the *χαῖρε, κεχαριτωμένη* as it had in the Liturgy of Chrysostom. See note (*d*) p. 131.

(*a*) + *ἦχος πλ. β'.* R.

(*b*) This too seems to be omitted in the MSS. + *τοῦτο τὸ παρὸν τροπάριον· ἦχος πλ. α'.* R.

(*c*) C *τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου.*

(*d*) Goar says that the next eleven lines are wanting in the MSS.

ELEVENTH CENTURY.

(1) *Ἐνταῦθα μνημονεύει οὓς θέλει.*

[83] καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

[83] Ἔτι σοῦ δεόμεθα, μνήσθητι, Κύριε, τῆς
(2) ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας,...μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Μνήσθητι, Κύριε, τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, κ.τ.λ.

[83] Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων, κ.τ.λ.

[83] Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις καὶ ὄρεσι, κ.τ.λ.

[83] Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, κ.τ.λ.

[83] Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, κ.τ.λ.

[83] ιθ'. 4 Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας, κ.τ.λ.

[83] (3) Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθαρτῶν ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι· τῶν ἐν βήμασι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πικραῖς δουλείαις καὶ πάσῃ θλίψει καὶ

(1) ι. 10 omits this.

(2) G 1 omits *καὶ ἀποστολικῆς*.

(3) This is found complete in the Barberini copy (p. 83) but I am unwilling to omit it here.

SIXTEENTH CENTURY.

τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ τοῦ *δεῖνος*.

Ὑπὲρ δὲ τεθνεώτων, λέγει·

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου *τοῦ δεῖνος*· ἐν τόπῳ φωτεινῷ ἔνθα ἀπέδρα λύπη, στεναγμός, ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν.

Μυστικῶς τὴν εὐχήν·

Καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι σοῦ δεόμεθα, μνήσθητι, Κύριε, τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Μνήσθητι, Κύριε, τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων.

Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων.

Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις καὶ ὄρεσι.

Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων.

Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων.

Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν παλατίῳ ἀδελφῶν ἡμῶν.

Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ, ...καὶ ἐμφυλίου πολέμου.

ELEVENTH CENTURY.

ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.

[84] Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων.

[84] Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, ...πάντα γὰρ ἀπέδωκας ἡμῖν.

ιθ'. 6 [85] Ἐκφών. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[85] Ἐκφών. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ διάκονος. Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. (1)

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν·

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικαταπέμψῃ ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται. (2)

(1) These have been added since the Barberini MS. was written. They are in B M 1. G 2 ὁ διάκονος ἐν τῷ ἄμβωνι· Ἀνοιχθήτωσαν αἱ θύραι. Καὶ ἀνοίγονται αἱ θύραι. Λιτανεία τετάρτη. πάντων τῶν ἁγίων.

(2) ι. 10 κλίνας.

SIXTEENTH CENTURY.

ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος·

Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας,......πάντα γὰρ ἀπέδωκας ἡμῖν·

Ἐκφών. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι

(a) ......τῶν αἰώνων.

Ἐκφών. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Καὶ ὁ διάκονος ἐξέρχεται, εἰ ἔστιν, εἰ δ' οὐχ, ὁ ἱερεύς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει· (b)

Πάντων τῶν ἁγίων...δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Καὶ τὰ λοιπὰ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὑπὲρ τῶν προσκομισθέντων.

Ὅπως ὁ φιλάνθρωπος.

Ὑπὲρ τοῦ ῥυσθῆναι.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς· (c)

(a) Goar's text and R have here ὁ ἱερεὺς ἐπιστρέφει πρὸς τῇ θύρᾳ καὶ εὐλογῶν λέγει ἐκφώνως. Καὶ ἔσται.

(b) This is missing in the MSS.

(c) Some MSS. add τῆς συναπτῆς λεγομένης.

ELEVENTH CENTURY.

[85] Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως, κ.τ.λ. ......τοῖς ἀγαπῶσί σε, Κύριε.

(1) Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον.

Τὴν ἡμέραν πᾶσαν τελείαν.

ιθ'. 7 Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.

Συγγνώμην καὶ ἄφεσιν.

Τὰ καλὰ καὶ συμφέροντα.

Τὸν ὑπόλοιπον χρόνον.

Χριστιανὰ τὰ τέλη.

Τὴν ἑνότητα τῆς πίστεως.

[85] Ἐκφώνως. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν,

(2) Ὁ λαός. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [85] (3)

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. [86]

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, ...εἰς Πνεύματος ἁγίου κοινωνίαν, [86]

Ἐκφώνησις. Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [86] (4)

Ὁ ἱερεὺς ἐπεύχεται. (5)

(1) As on p. 135. (These have been added.)

(2) G 2 ὁ λαὸς καὶ ὁ κλῆρος σὺν αὐτῷ αἴροντες τὰς χεῖρας λέγουσι τὸ Πάτερ ἡμῶν.

(3) G 1 Καὶ ὁ ἱερεὺς ὀρθῶς, μυστικῶς εὔχεται ὑψῶν τὰς χεῖρας· Κύριε, Κύριε, μόνε ἀγαθέ, μόνε φιλάνθρωπε, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ καὶ τῶν ἔργων αὐτοῦ, ὅτι σοῦ ἐστιν.

(4) B M 3 breaks off here.

(5) In B the rubric was τῆς ὑψώσεως τοῦ ἄρτου. G 2 Ὁ διάκονος, Πρόσχωμεν. ὁ ἀρχιερεὺς ὑψῶν τὸν ἄρτον· Πρόσχες, Κύριε Ἰησοῦ.

SIXTEENTH CENTURY.

Ὁ Θεὸς ἡμῶν...σὺ ὁ Θεὸς ἡμῶν...

...τοῖς ἀγαπῶσί σε, Κύριε.

Ὁ διάκονος, εἰ ἔστι, τὰ εἰρηνικὰ ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου.

Ἀντιλαβοῦ......Τὴν ἑνότητα.

(a) Ἐκφώνως ὁ ἱερεύς. Καὶ καταξίωσον...καὶ λέγειν.

(b) Ὁ χορὸς τὸ Πάτερ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σοῦ...αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. (c)

Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς· (d)

Δέσποτα Κύριε...κοινωνίαν,

Ἐκφώνως ὁ ἱερεύς. Χάριτι...αἰώνων.

Ὁ χορός. Ἀμήν.

(a) C ὁ ἱερεὺς ὑψοῖ τὰς χεῖρας.

(b) C ὁ ἱερεὺς λέγει τὸ Πάτερ ἡμῶν.

(c) H ἡμῶν...κλίνωμεν. Some MSS. add Σοί, Κύριε.

(d) R has simply ὁ ἱερεὺς ἐπεύχεται.

ELEVENTH CENTURY.

[86] Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ διάκονος. Πρόσχωμεν. (1)

(1) I. 10 adds ὁ ἱερεὺς ὑψοῖ τὸν ἄρτον σταυροειδῶς, λέγων.

SIXTEENTH CENTURY.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς·

Πρόσχες......τῷ λαῷ.

(a) Κἀνταῦθα ὅ τε ἱερεὺς καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ λέγουσιν καὶ ποιοῦσιν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὁ διάκονος ἐκφωνεῖ· Πρόσχωμεν.

(a) This is not in the MSS. nor in Goar's copy, nor in B. C has καὶ θυμιῶν λέγει· Ὑψώσω κ.τ.λ. as in note *a*, p. 136 to the word Μελίζεται. It proceeds Μελίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ λαβὼν τὴν μερίδα τίθησιν αὐτὴν ἐν τῷ ποτηρίῳ, τοῦ διακόνου εἰρηκότος, Πλήρωσον, δέσποτα. Καὶ ὁ ἱερεύς, Πλήρωμα τοῦ ἁγίου Πνεύματος. Καὶ μικρὸν κύψας εὔχεται οὕτως. Μεμολυσμένῃ ψυχῇ, καὶ ῥυπαρῷ χείλει, καὶ χερσὶν αἰσχραῖς, καὶ πυλίνῃ γλώττῃ, καὶ ὅλος ὑπάρχω ταπεινὸς καὶ ἁμαρτωλὸς καὶ ἀμετανόητος, φιλάνθρωπε Σωτέρ μου· καὶ ἱκετεύω, ὁ καλῶν ἁμαρτωλοὺς εἰς μετάνοιαν, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ παραπτώματά μου, τὰ πλημμελήματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ τὰ ἐν ἀγνοίᾳ, πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μακρόθυμός τε καὶ πολυέλεος· καὶ τῇ πρεσβείᾳ τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὴν ἁγίαν καὶ ἄχραντόν σου δωρεάν, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κάθαρσιν τῶν πονηρῶν μου λογισμῶν, εἰς τήρησιν τῶν ἐντολῶν σου, καὶ εἰς ζωὴν αἰώνιον· ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή...

Thus C gives here a solution of the difficulty mentioned in the note (*k*), p. 138.

It proceeds καὶ λαβὼν μίαν μερίδα κλᾷ καὶ δίδει (*sic*) τῷ διακόνῳ καὶ τοῖς συλλειτουργοῦσιν, λέγων· Τοῦ δείπνου σου τοῦ μυστικοῦ (as on p. 139). Εἶθ' οὕτω λέγει ταύτην τὴν εὐχήν. Δέσποτα, φιλάνθρωπε Κύριε, Ἰησοῦ Χριστέ, μὴ εἰς κρίμα ἢ κατάκριμα γενέσθαι τὰ ἅγια ταῦτα, ἀλλ' εἰς κάθαρσιν ψυχῆς τε καὶ σώματος. Εἶτα σφραγίζει ἑαυτὸν ἐν τῷ μετώπῳ μετὰ τῆς μερίδος, λέγων· Πιστεύω, Κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Λέγει· Τὸ τίμιον σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ μεταδιδόμενον ἡμῖν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ὁμοίως καὶ εἰς τὸ ποτήριον λέγει· Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Αὐτὸ το τίμιον αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ μεταδιδόμενον ἡμῖν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Εἶθ' οὕτω σπογγίσας τὸ ποτήριον βάλλει ἐν αὐτῷ τὰς μερίδας ἑτέρας, λέγων τὴν εὐχὴν ταύτην. Γένοιτό μοι, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, τὸ σῶμά σου τὸ ἅγιον εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ζωὴν αἰώνιον, καὶ ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ συναρίθμησόν με τοῖς δικαίοις καὶ ἐκλεκτοῖς σου προβάτοις, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰ μὲν εἰσὶν τινες οἱ βουλόμενοι μεταλαβεῖν· Μετὰ φόβου καὶ πίστεως καὶ ἀγάπης προσέλθετε Χριστῷ τῷ Θεῷ καὶ Βασιλεῖ ἡμῶν. Ὁ λαὸς ἀποκρίνεται, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Καὶ ὁ ἱερεὺς μεταλαμβάνει τὸν λαόν, λέγων· Τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ Κυρίου.

ELEVENTH CENTURY.

'Ο *ἱερεύς.* τὰ ἅγια τοῖς ἁγίοις.

(1) 'Ο *διάκονος.* Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἄρτου μερίδα μίαν βάλλει εἰς τὸ ἅγιον ποτήριον, λέγων,

(2) Πλήρωμα Πνεύματος ἁγίου.

'Ο *διάκονος.* 'Αμήν.

(3) *Εἶτα.* Μετὰ φόβου Θεοῦ καὶ πίστεως. Προσέλθετε.

ιθ'. 8 (4) *Εἶτα τῆς μεταλήψεως τελειωθείσης καὶ τῶν ἁγίων λειψάνων ἀπὸ τῆς ἱερᾶς ἀρθέντων τραπέζης ἐπεύχεται ὁ ἱερεύς.*

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν......τοῦ Χριστοῦ σου. [86]

(5) *῞Οτε δὲ μέλλει στραφῆναι τὰ ἅγια δῶρα ἔνθα προετέθησαν, ἐν τῷ αἴρεσθαι ταῦτα ἀπὸ τῆς ἁγίας τραπέζης θυμιᾷ ὁ διάκονος τρίς, ὁ δὲ ἱερεὺς λέγει καθ' ἑαυτόν,*

῾Υψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Αἴρων δὲ ταῦτα ἐκφωνεῖ,

(6) Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

'Ο *διάκονος.* 'Ορθοί· μεταλαβόντες τῶν

(1) This is not in B, ɪ. 10, B M 1, or G 2. The two latter have *ὁ λαός· Εἷς ἅγιος. Καὶ οἱ ψάλται ψάλλουσιν τὸ κοινωνικόν, καὶ οὕτως πάντες μεταλαμβάνουσιν. Εἶτα τῆς μεταλήψεως τελειωθείσης τὰ ἅγια εἰς τὸ σκευοφυλάκιον εἰσφέρονται πάντων ψαλλομένων τό·* Πληρωθήτω *τὸ στόμα μου.* The Latin proceeds "ut hymnum dicamus gloriæ tuæ: quia nos idoneos fecisti sanctorum tuorum participare mysteriorum: salva nos in sanctificatione tua tota die meditantes justitiam tuam."

It passes on to *ὀρθοί, μεταλαβόντες.* Then we have *εὐχαριστοῦμέν σοι*, and the Litany.

(2) B *εἰς πλήρωμα* Πνεύματος *ἁγίου.*

(3) B omits this. B M 1 breaks off here.

(4) B *καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διακόνου τὴν εὐχήν.* ɪ. 10 thus, *εἶτα τῆς μεταλήψεως τελεσθείσης ὁ ἱερεὺς ἐπεύχεται.*

(5) ɪ. 10 omits the next nine lines.

(6) G 1 Πληρωθήτω *τὸ στόμα μου καὶ τὰ ἑξῆς.*

SIXTEENTH CENTURY.

Καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις.

Καὶ ὁ χορός. Εἷς ἅγιος, εἷς Κύριος 'Ιησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. 'Αμήν.

(a) *Καὶ ἐνταῦθα καὶ ὁ χορὸς τὰ αὐτὰ ψάλλει τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ· καὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος, καὶ ἐν τῇ ζέσει, καὶ ἐν τῷ μελισμῷ, καὶ ἐν τῇ κοινωνίᾳ, καὶ ἐν ταῖς εὐχαῖς, καὶ θρησκείαις, ταὐτὰ καὶ λέγουσι καὶ ποιοῦσι τῇ τοῦ Χρυσοστόμου.*

'Ο *ἱερεὺς ἐπεύχεται μυστικῶς·*

Εὐχαριστοῦμέν σοι...τοῦ Χριστοῦ σου.

'Ο *διάκονος ἐν τῷ συνήθει τόπῳ στὰς λέγει·* (b)

'Ορθοί, μεταλαβόντες...ζωοποιῶν μυστηρίων ἀξίως εὐχαριστήσομεν τῷ Κυρίῳ.

'Ο *χορός.* Κύριε, ἐλέησον.

(*a*) This is not in any MS. C has simply *εἶτα τῆς μεταλήψεως τελειωθείσης, ὑποστρέφει ἐν τῷ θυσιαστηρίῳ καὶ λέγει τὴν εὐχὴν ταύτην.* To the words *εἰς πίστιν ἀναίσχυντον* (p. 86) C adds *εἰς ἐλπίδα βεβαίαν.* R has this; *εἶτα τῆς μεταλήψεως τελειωθείσης καὶ τῶν ἁγίων λειψάνων ἀπὸ τῆς ἱερᾶς ἀρθέντων τραπέζης ἐπεύχεται ὁ ἱερεύς· Εὐχαριστοῦμεν.*

(*b*) C has *καὶ θυμιῶν ἐκφωνεῖ ὁ ἱερεύς,* Εὐλογητὸς *ὁ* Θεὸς *ἡμῶν πάντοτε κ.τ.λ.* 'Ο *λαός,* Εἴη *τὸ ὄνομα τοῦ* Κυρίου *εὐλογημένον.* 'Ο *ἱερεὺς λέγει,* Εὐλογημένοι *ἡμεῖς τῷ* Κυρίῳ· *τῇ θείᾳ αὐτοῦ χάριτι, πάντοτε.* 'Ο *λαός,* Εὐλογήσω *τὸν* Κύριον.

ELEVENTH CENTURY.

θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν.

[86] *Ἐκφώνως.*

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀ-
(1) *μήν.*

[86] *Ὁ διάκονος.* *Ἐν εἰρήνῃ προέλθωμεν.*

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη.

(2) *Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* (3)

(1) G 2 *ὁ ἀρχιερεὺς μετὰ ταῦτα ὄπισθεν τοῦ ἄμβωνος ἀπέρχεται· καὶ ὁ διάκονος λέγει,* Τοῦ Κυρίου *δεηθῶμεν. Ὁ ἀρχιερεύς· Ὁ εὐλογῶν.*

(2) This prayer is different from that in B. It is the same that is used in the modern "S. Chrysostom."

One of the Paris MSS. used by Goar has the following *εὐχὴ ὀπισθάμβωνος. Δέσποτα* Κύριε Ἰησοῦ *Χριστέ, ὁ σωτὴρ ἡμῶν, ὁ καταξιώσας ἡμᾶς τῆς σῆς δόξης κοινωνοὺς γενέσθαι διὰ τῆς τῶν ἁγίων σου μυστηρίων ζωοποιοῦ μεταλήψεως, δι' ὧν τοῦ θανάτου σου καὶ τῆς ἀναστάσεως τὸν τύπον τελεῖν παρέδωκας ἡμῖν, δι' αὐτῶν ἡμᾶς ἐν τῷ ἁγιασμῷ σου διαφύλαξον, μεμνημένους τῆς σῆς χάριτος διὰ παντός, καὶ σοὶ ζῶντας ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι.* Τοῖς *συλλειτουργήσασιν ἡμῖν καὶ τοῖς θείοις σου μυστηρίοις διακονήσασι βαθμὸν ἀγαθὸν περιποίησαι καὶ πολλὴν παρρησίαν ἐπὶ τοῦ φοβεροῦ σου βήματος· εἰρήνην τῷ κόσμῳ δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.* Σὺ *γὰρ εἶ ὁ ἀληθινὸς* Θεὸς *ἡμῶν καὶ ζωὴ αἰώνιος, καὶ σοὶ τὴν δόξαν.*

(3) G 2 *καὶ οἱ ὑπηρέται ἀποκρίνονται Ἀμήν.* Καὶ *εἰς τὸ σκευοφυλάκιον ἀπέρχονται· καὶ τὰ ἱερὰ ἐκδύουσιν ἐγγὺς τῆς προθέσεως.* And so it concludes.

SIXTEENTH CENTURY.

Ὁ διάκονος. Ἀντιλαβοῦ ...... Τὴν ἡμέραν...

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ...αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. (a)

Καὶ αὖθις. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος. (b)

Ὁ εὐλογῶν...τῶν αἰώνων.

(*a*) R gives this to the priest.

(*b*) R omits *ἔξω τοῦ βήματος.*

LITURGY OF THE PRESANCTIFIED.

LITURGY OF THE PRESANCTIFIED.

I have treated this Liturgy as those of Saint Chrysostom and Saint Basil. G and R denote respectively the texts of Goar and the modern Roman edition. I have not met with any MS. containing it later than the Barberini MS. and the Codex Rossanensis from which I have printed it above (pages 95—98). The figures between brackets [96] denote the pages on which corresponding passages in these MSS. have been printed.

LITURGY OF THE PRESANCTIFIED.

ELEVENTH CENTURY.

(1) Ἡ θεία μυσταγωγία τῶν προηγιασμένων.

Εἰσελθόντος τοῦ ἱερέως ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ τὴν ἱερὰν ἐνδυσαμένου στολήν, καὶ εὐλογήσαντος τὸν εὐλογητὸν Θεόν, ψάλλεται συνήθως ὁ προοιμιακὸς ψαλμός· οὕτως δὲ ἱστάμενος ἔνδοθεν λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ.

(1) Two of Goar's MSS. and another in the Barberini collection ascribe this to Germanus, archbishop of Constantinople. The usual title is Ἡ *θεία λειτουργία*. The Barberini codex adds *ψαλλομένη τῆς ἐννάτης ὥρας.*

SIXTEENTH CENTURY.

Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

(a) *Αὕτη ἡ θεία λειτουργία λέγεται ἐν ταῖς τῆς τεσσερακοστῆς νηστίμαις ἡμέραις μόνον, ὡς ἐν τῷ τυπικῷ ἔχεται. Ὁ ἱερεὺς καὶ ὁ διάκονος εἰσέρχονται καὶ ἐνδύονται, τοιαύτας εὐχὰς λέγοντες οἵας καὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ· μετέπειτα λαμβάνουσιν τὸ θυμιατήριον καὶ θυμιῶσι τρίς, μετ' εὐλαβείας, ἔνθα ὁ ἅγιος ἄρτος πεφυλαγμένος εἴη, λέγοντες τὸ* Ὁ Θεός, ἱλάσθητί μοι. *Τότε λαμβάνει ὁ ἱερεὺς τὸν ἅγιον ἄρτον μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ ἐπιμελείας, καὶ τίθησιν αὐτὸν ἐπὶ τὸν ἅγιον δίσκον ἐν τῇ προθέσει, λέγων τὸ* Πιστεύω καὶ ὁμολογῶ. *Εἶτα θυμιῶν τὸν ἀστέρα, τίθησιν ἔπανω, οὐδὲν λέγων, μετ' εὐλαβείας μόνον, ὁμοίως καὶ τὸ κάλυμμα. Ἐν δὲ τῷ ἁγίῳ ποτηρίῳ ἐγχέει οἶνον καὶ ὕδωρ ὅσον ἀρκεῖ, οὐδὲν λέγων, καὶ μετὰ τοῦ καλύμματος καλύπτει ὡς ἔθος σὺν τῷ ἀέρι εὐλαβῶς, καὶ ἔρχεται ἐπὶ τὴν ἁγίαν τράπεζαν ποιῶν μετανοίας τρεῖς, λέγων τὸ* Ὁ Θεός ἱλάσθητί μοι, *καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἱερὰν τράπεζαν.*

Καὶ ὁ διάκονος λέγει, Εὐλόγησον, δέσποτα. (b)
Καὶ ὁ ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ βασίλεια τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(*a*) Goar and the modern Roman edition prefix two introductory passages: the first containing the "psalms of the steps" and several hymns for Lent, which are followed by a lesson from Genesis (vii. 6—9) and another from Proverbs (ix. 12—18). The second is an explanation of the service (*ἑρμηνεία τῆς θείας λειτουργίας τῶν προηγιασμένων*). This describes the ceremony on the day of consecration, and the mode in which the consecrated Breads are placed *ἐν τῷ ἀρτοφορίῳ*. Then follow the rites of the day itself, which have been much modified since the publication of Demetrius Ducas. I have only given notes of the text of the Liturgy &c. as printed by Goar and R.

(*b*) Goar and R begin here.

ELEVENTH CENTURY.

Εὐχὴ ἀντιφώνου πρώτου.

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν. Ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν, ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου, εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον, διότι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια. Σὺ εἶ ὁ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ἐκφώνως. Ὅτι πρέπει σοι...τῶν αἰώνων, as on p. 112.

Εὐχὴ ἀντιφώνου δευτέρου. κ'. 2

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου,

SIXTEENTH CENTURY.

Ὁ χορός. Ἀμήν.

(a) Καὶ μετὰ τὸν προοιμιακὸν ψαλμὸν λέγει τὰ εἰρηνικὰ ὁ διάκονος· ὁ δὲ ἱερεὺς ἢ εὔχεταί τι ἢ ἐπιμελεῖται τὴν ἁγίαν πρόθεσιν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος.

(b) Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τοῦ συμπολεμῆσαι.

Ὑπὲρ τῆς ἁγίας μονῆς.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ἀντιλαβοῦ, σῶσον.

Τῆς παναγίας, ἀχράντου.

(c) Ἐκφώνως ὁ ἱερεύς. Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Ὁ χορός. Ἀμήν.

Εὐχὴ ἀντιφώνου πρώτου, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει. ὁ δὲ χορὸς ἀναγινώσκει τοὺς ψαλμούς, τὸ Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με, ἕως τὸ Δόξα Πατρί, ἤγουν τὴν πρώτην στάσιν. (d)

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε, *ut supra.*

Ἐκφώνως ὁ ἱερεὺς μετὰ τὸ Δόξα Πατρί, (e)

Ὅτι πρέπει σοι πᾶσα δόξα, κ.τ.λ. (f)

Ὁ χορός. Ἀμήν.

Τότε ὁ χορὸς λέγει τὸ ἐπίλοιπον τοῦ καθίσματος ἤγουν τὴν δευτέραν στάσιν. (g)

Εὐχὴ ἀντιφώνου δευτέρου ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, *ut supra.*

(a) G and R καὶ ὁ προοιμιακὸς παρὰ τοῦ ταχθέντος μοναχοῦ, καὶ μετὰ τὸν προοιμιακὸν λέγει ὁ διάκονος, Ἐν εἰρήνῃ.

(b) G omits these two petitions.

(c) G and R have here ὅτι πρέπει σοι κ.τ.λ.

(d) G and R simply εὐχὴ ἀντιφώνου πρώτου.

Κύριε οἰκτίρμον.

(e) G ὁ διάκονος. Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ὅτι σὸν τὸ κράτος. R nearly similar.

(f) As on p. 112.

(g) G and R simply εὐχὴ ἀντιφώνου δευτέρου.

ELEVENTH CENTURY.

ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν, ὁδηγῶν ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς
(1) *ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων σου.*

'Εκφώνως. *Ὅτι σὸν τὸ κράτος...τῶν αἰώνων,* as on pp. 112, 113.

Εὐχὴ ἀντιφώνου τρίτου.

Κύριε, ὁ Θεὸς ἡμῶν, *μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσκυνητὸν ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, ὁ Θεός, πάντα τὰ πρὸς σωτηρίαν αἰτή-* (2)
ματα, καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου·

'Εκφώνως. *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις...αἰώνων,* as on pp. 113, 114.

Εἶτα τοῦ ψαλμοῦ τελεσθέντος ἄρχεται τῆς (3)
συναπτῆς. 'Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν, *καὶ τὰ λοιπά. Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλεται* (4)
τὰ προκείμενα.

Ὁ δὲ ἱερεὺς ἀπέρχεται ἐν τῇ ἁγίᾳ προθέσει καὶ ἐξενεγκὼν τὸν ζωοποιὸν ἄρτον προτίθησιν ἐν τῷ ἁγίῳ δίσκῳ μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, ποιῶν καὶ ἕνωσιν· οὐ μέντοι λέγει τι τῶν συν-

(1) I. 10 *ὑπεραγίας.*

(2) I. 10. Κύριε.

(3) I. 10 inserts *εὐχή. Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀκαταπαύστοις δοξολογίαις ἐν τοῖς ὑψίστοις ὑπὸ τῶν ἁγίων δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου, τῷ ἁγίῳ. καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ καὶ φυλασσόντων τὰς ἐντολάς σου, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων σου·*

'Εκφώνως. *Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπές.*

(4) I. 10 gives the *εἰρηνικὰ* at length. It proceeds *καὶ μετὰ τὴν ἐκφώνησιν λέγεται τὰ συνήθη καθ[ίσματα] τοῦ ψαλ. Ὁ δὲ ἱερεύς.*

SIXTEENTH CENTURY.

(a) *Ὁ διάκονος μετὰ τὴν πλήρωσιν τοῦ μέσου καθίσματος τοῦ* Δόξα Πατρί, *λέγει τὰ εἰρηνικά, καὶ μετὰ τὰ εἰρηνικὰ ἐκφωνεῖ ὁ ἱερεύς·*

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας, ἀχράντου.

(b) 'Εκφώνως. *Ὅτι σὸν τὸ κράτος.*

Ὁ χορός. Ἀμήν.

(c) *Μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ χορὸς τὸ τρίτον τοῦ καθίσματος. Ὁ δὲ ἱερεὺς τὴν εὐχὴν τοῦ τρίτου ἀντιφώνου μυστικῶς λέγει.*

Κύριε, ὁ Θεὸς ἡμῶν, *μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων, ut supra.*

Πληρουμένης τῆς εὐχῆς, καὶ τοῦ καθίσματος (d)
τελουμένου, ὁ διάκονος λέγει τὰ εἰρηνικά.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας.

(a) G omits all after *ὁ διάκονος.* R has *ὁ διάκονος μετὰ τὸ Δόξα Πατρί, Ἔτι καὶ ἔτι.*

(b) As on pages 112, 113. G, R have *ὅτι ἀγαθός.*

(c) G and R *εὐχὴ ἀντιφώνου τρίτου.*

(d) G and R *ὁ διάκονος.*

ELEVENTH CENTURY.

ηθῶν τῇ προθέσει ἡ εὐχὴν προθέσεως, εἰ καὶ
(1) *ἔν τισιν εἴρηται εὐχὴ προθέσεως, ἀλλὰ μόνον περικαλύψας τὰ ἅγια καὶ θυμιάσας ἀπέρχεται. Ποιεῖ δὲ ἐν τῇ στιχολογίᾳ, καθ' ἑκάστην Δόξαν, μικρὰν συναπτὴν καὶ ἐκφώνησιν.*

(2) *Ἐκφών.* Ὅτι σὸν τὸ κράτος...αἰώνων.

Ἐκφών. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... αἰώνων.

Ἐκφών. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Ἐν δὲ τῷ ψάλλεσθαι τὸ Κύριε, ἐκέκραξα,
(3) *θυμιᾷ κατὰ τὴν τράπεζαν.*

Ἡ εἴσοδος μετὰ τοῦ θυματοῦ καὶ ἡ εὐχὴ τῆς εἰσόδου.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σε, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε· κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς ὁ Θεὸς ἡμῶν· Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμή, καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ.

(1) For *εἴρηται εὐχὴ προθέσεως* I. 10 has *εὕρηται.*

(2) I. 10 omits these seven lines.

(3) I. 10 *κατὰ τὸν τόπον.*

SIXTEENTH CENTURY.

(a) *Ἐκφώνως ὁ ἱερεύς.* Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ὁ χορός. Ἀμήν.

Καὶ μετὰ τὴν στιχολογίαν ὁ διάκονος τὰ εἰρηνικά.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας.

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ὁ χορός. Ἀμήν.

(b) *Τότε ὁ μὲν χορὸς ψάλλει τὸ* Κύριε, ἐκέκραξα.

Ὁ δὲ ἱερεὺς ἢ ὁ διάκονος θυμιᾷ πρῶτον μὲν τὴν πρόθεσιν ἔνθα ὁ ἅγιος ἄρτος, ἔπειτα δὲ τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἱερατεῖον, καὶ τὸν ναὸν σὺν παντὶ τῷ λαῷ. Μετὰ δὲ τὸ Κύριε, ἐκέκραξα, *ψάλλει τὸ ἰδιόμελον τοῦ τριῳδίου τῆς ἡμέρας καὶ τὰ μαρτυρικὰ καὶ τοῦ μηναίου. Ἐν δὲ τῷ* Δόξα Πατρί, *ἐξέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος μετὰ τοῦ θυμιάματος καὶ λαμπάδων, καὶ ποιοῦσι τὴν εἴσοδον ὡς ἔθος ἐστί, καὶ λέγει τὴν εὐχὴν ταύτην ὁ ἱερεὺς μυστικῶς.* Ἑσπέρας καὶ πρωΐ, *ut supra.*

Μετὰ τὴν εὐχὴν εὐλογεῖ μετὰ τῆς χειρὸς ὁ ἱερεὺς p. 35
καὶ λέγει, (c)

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐκφώνως. Ὅτι πρέπει σοὶ κ.τ.λ.

(a) G and R omit six lines.

(b) G *καὶ ψάλλεται τὸ Κύριε, ἐκέκραξα, καὶ ὁ διάκονος θυμιᾷ κατὰ τὴν τάξιν.* Καὶ *ἡ εἴσοδος μετὰ τοῦ θυματοῦ.* Εὐχὴ *τῆς εἰσόδου.* **Ἑσπέρας.**

(c) G and R omit five lines.

ELEVENTH CENTURY.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ...αἰώνων, as on pp. 77, 118, 119.

Ὁ διάκονος. Εὔξασθε, as on p. 119.

Οἱ πιστοί.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς.

Ἑνώσῃ αὐτούς.

Σῶσον, ἐλέησον.

(1) Οἱ κατηχούμενοι.

(2) Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ
[95] B δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου, καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ ἐφ' ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται·

Ἐκφώνως. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξά- κ΄. 4
ζωσι τὸ, as on p. 120. C R [96]

Ὁ διάκονος. Ὅσοι κατηχούμενοι, as on p. 120.

Ἰστέον ὅτι ἀπὸ τῆς τετάρτης τῆς μεσονηστίμου προστίθενται καὶ τὰ ὑπερτεταγμένα διακονικὰ σὺν τῇ εὐχῇ, καὶ ὀφείλεις ἅμα τῷ εἰπόντι τὴν ἄνωθεν ἐκφώνησιν τὸ Ἵνα καὶ αὐτοὶ *ἄρξασθαι οὕτως.*

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατη-

(1) I. 10 *ὁ ἱερεὺς ἐπεύχεται.* (2) This prayer is the first that is found in B.

SIXTEENTH CENTURY.

(a) *Τὴν εὐχὴν ταύτην ὁ ἱερεὺς λέγει μυστικῶς·*

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ...αἰώνων. *Ὁ χορός.* Ἀμήν.

Κἀνταῦθα ὁ διάκονος ὑπὲρ τῶν κατηχουμένων τὰ αὐτὰ λέγει τῇ τοῦ Χρυσοστόμου καὶ τοῦ Βασιλείου λειτουργίᾳ.

Εὔξασθε. Οἱ πιστοί. Κατηχήσῃ. Ἀποκαλύψῃ. Ἑνώσῃ. Σῶσον.

Οἱ κατηχούμενοι τὰς κεφαλάς.

(b) *Εὐχὴ ὑπὲρ τῶν κατηχουμένων μυστικῶς.*

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, *ut supra.*

Ἐκφώνως. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι.

Ο *χορός.* Ἀμήν.

(c) *Ἐνταῦθα ἐξαπλώνει ὁ ἱερεὺς τὸ εἱλητὸν, ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου καὶ τοῦ Βασιλείου λειτουργίᾳ.*

Ὁ διάκονος. Ὅσοι κατηχούμενοι...

Ὁ χορός. Κύριε, ἐλέησον.

Ταῦτα μόνα λέγονται μέχρι καὶ τῆς τρίτης καὶ τῆς τετάρτης ἑβδομάδος· ἀπὸ δὲ τῆς τετάρτης τῆς μεσονηστίμου, μετὰ τὸ εἰπεῖν Ἵνα καὶ αὐτοί, *λέγονται ταῦτα τὰ διακονικὰ ἤγουν τὰ εἰρηνικά.*

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατη-
χούμενοι προέλθετε· ὅσοι πρὸς τὸ φώτισμα (d)
προέλθετε· εὔξασθε οἱ πρὸς τὸ φώτισμα.

Ὁ χορός. Κύριε, ἐλέησον,

(a) G and R *εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.*

(b) G *εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς.*

(c) G, R omit these two lines.

(d) In the Rossano Codex (see p. 95) the words are *ὅσοι πρὸς τὸ φώτισμα προσέλθετε,* which must be correct. So B. M. Add. 22749 (see above, p. 156, note 3), which contains all here to the direction *ὅσοι πρὸς τὸ φώτισμα,* p. 182. This was to be used "on all Saturdays and Sundays after the fourth day of Midlent *παρὲξ τοῦ σαββάτου τοῦ λαβαροῦ.*"

ELEVENTH CENTURY.

καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(1) CR [96] Ὁ διάκονος. Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε· οἱ πρὸς τὸ φώτισμα, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

CR [96] Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον.

Εὐχὴ πιστῶν α'.

B [96] Ὁ Θεός, ὁ μέγας καὶ αἰνετός, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρ-
κ'. 5 σίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, σὺ πάσας
ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφθαλμὸς μὲν ἀμέτοχος ἔστω παντὸς πονηροῦ βλέμματος· ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος· ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν· ἅγνισον δὲ ἡμῶν καὶ τὰ χείλη τὰ αἰνοῦντά σε, Κύριε· τὰς χεῖρας ἡμῶν ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα· πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία. (2)

Ἐκφώνως. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις τῷ Πατρὶ...τῶν αἰώνων. [96]

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. (2)

Εὐχὴ πιστῶν β'.

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν B [96]

(1) ι. 10 has προσέλθετε in the first two places. (2) Not in B or C R.

SIXTEENTH CENTURY.

Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί...

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος. Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε· οἱ πρὸς τὸ φώτισμα, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μήτις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ἕως ὧδε τὰ ἀπὸ τῆς τετάρτης τῆς μεσονηστίμου.

Εὐχὴ πιστῶν πρώτη μυστικῶς.

Ὁ Θεός, ὁ μέγας...καὶ ὀφθαλμὸς μὲν ἀπέστω παντὸς πονηροῦ βλέμματος...χάριτι.

Ὁ διάκονος τὰ εἰρηνικά, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ. (a)

Ἀντιλαβοῦ. Τὴν ἡμέραν. Ἄγγελον εἰρήνης. Συγγνώμην. Τὰ καλά. Τὸν ὑπόλοιπον. Χριστιανά. Τῆς παναγίας. (b)

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι πρέπει σοι, *ut supra.*

Ὁ χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα μυστικῶς. p. 37

Δέσποτα ἅγιε, ὑπεράγαθε...γενώμεθα, *ut supra.*

Τὰ εἰρηνικὰ ὁ διάκονος ὡς καὶ ἐν τοῖς ἄλλοις.

(*a*) G and B simply ὁ διάκονος.
(*b*) As on page 126. Elsewhere in this copy we have τὴν ἑσπέραν.

ELEVENTH CENTURY.

(1) *Εὐχὴ μετὰ τὸ ἀποτεθῆναι τὰ θεῖα δῶρα.*

[97] Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀποκρυφοί, ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν, καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ πολλήν σου φιλανθρωπίαν εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτός, ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ' ᾧ ὁ μονογενής σου Υἱός, καὶ Θεὸς ἡμῶν, διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων· καί, πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ, ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ ἡμῶν Θεῷ, τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· ὅπως, ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐνπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναὸς τοῦ ἁγίου καὶ προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας ἐν λόγῳ ἢ πράξει ἢ κατὰ διάνοιαν ἐνεργουμένης· καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν πᾶσι τοῖς ἁγίοις τοῖς ἀπ' αἰῶνός σοι εὐαρεστήσασιν.

Τὴν ἑσπέραν πᾶσαν. (2)

Ἄγγελον εἰρήνης.

Συγγνώμην.

Τὰ καλὰ καί.

Τὸν ὑπόλοιπον.

Χριστιανὰ τὰ τέλη.

Τὴν ἑνότητα τῆς.

Ἐκφώνως. Καὶ καταξίωσον. κ'. 7

Ὁ λαός. ΠΆΤΕΡ ΗΜΩ͂Ν, Ὁ ἘΝ ΤΟΙ͂Σ ΟΥΡΑΝΟΙ͂Σ. [97]

Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

(1) B, C B and I. 10 simply *ὁ ἱερεὺς ἐπεύχεται.*

(2) Seven lines are absent from B and C B.

SIXTEENTH CENTURY.

Ὁ τῶν ἀρρήτων...ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων...ἔπιδε...τῷ Χριστῷ τῷ ἀληθινῷ ἡμῶν Θεῷ...τοῦ παναγίου...τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν σὺν πᾶσιν τοῖς ἁγίοις σου...

Ὁ διάκονος τὰ εἰρηνικά. Ἀντιλαβοῦ. Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν. Ἄγγελον. Συγγνώμην. Τὰ καλά. Τὸν ὑπόλοιπον. Χριστιανά. Τὴν ἑνότητα.

Ἐκφώνως ὁ ἱερεύς. Καὶ καταξίωσον...*ut supra.*

Ὁ χορός. ΠΆΤΕΡ ΗΜΩ͂Ν.

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

ELEVENTH CENTURY.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

(1) Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

[97 B] Ὁ ἱερεὺς ἐπεύχεται. Ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου καὶ φύλαξον αὐτόν· καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος·

Ἐκφώνως. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν. [97 B]

Ὁ ἱερεὺς ἐπεύχεται. Πρόσχες, Κύριε...... παντὶ τῷ λαῷ. As on p. 136.

Καὶ ὑψῶν τὸν ἅγιον ἄρτον, λέγει, Πρόσχωμεν. (2)

Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. [97 B]

Ὁ λαός. Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εὐχὴ μετὰ τὴν ἁγίαν μετάληψιν. [97]

(1) In the margin in a later hand ὑμῶν, κλίνατε.

(2) Ι. 10 simply ὁ διάκονος. Πρόσχωμεν. ὁ ἱερεύς. Τὰ προηγιασμένα.

SIXTEENTH CENTURY.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ χορός. Σοί, Κύριε.

(a) Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ὁ Θεός, ὁ μόνος ἀγαθὸς...*ut supra.*

Ἐκφώνως ὁ ἱερεύς. Χάριτι...

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες, Κύριε......συγκαθήμενος...... λαῷ.

(b) Μετὰ τὴν εὐχὴν ὅ τε ἱερεὺς καὶ ὁ διάκονος προσκυνοῦσι τρίς, ὁμοίως καὶ πᾶς ὁ λαός, λέγοντες,

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, τρίς.

Ὁ δὲ ἱερεύς, ἐπικεκαλυμμένων ὄντων τῶν θείων δώρων, βαλὼν τὴν χεῖρα, ἅπτεται τοῦ ζωοποιοῦ ἄρτου μετὰ εὐλαβείας καὶ φόβου πολλοῦ. Καί, λέγοντος τοῦ διακόνου,

Πρόσχωμεν, p. 35 b

Ἐκφώνως ο ἱερεύς. Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Ὁ χορός. Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. (c)

Οὐ γὰρ ὑψοῖ ἀρτίως τὸν ἄρτον. εἶτα ἀνακαλύψας αὐτόν, ἐκπληροῖ τὴν μετάληψιν τῶν θείων λειψάνων, καὶ ποιοῦσι καὶ λέγουσιν ὅ τε ἱερεὺς καὶ ὁ διάκονος καὶ ὁ χορὸς τὰ αὐτὰ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς.

(*a*) G and R omit these two lines.

(*b*) R omits seven lines.

(*c*) Instead of the next six lines G has εἶτα ἀνακαλύψας αὐτὸν ἐκπληροῖ τὴν μετάληψιν τῶν θείων δώρων. Τῆς δὲ μεταλήψεως τελειωθείσης καὶ τῶν ἁγίων λειψάνων ἀπὸ τῆς ἱερᾶς ἀρθέντων τραπέζης, ἐπεύχεται. B more simply μετὰ τὴν μετάληψιν ἐπεύχεται.

ELEVENTH CENTURY.

[97] B Εὐχαριστοῦμέν σοι, τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· καὶ δεόμεθά σου, Δέσποτα φιλάνθρωπε, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

κ'. 8 Ὁ διάκονος. Ὀρθοί. As on p. 142.

Ἀντιλαβοῦ.

Τὴν ἑσπέραν.

Ἐκφώνως. Ὅτι σὺ εἶ ὁ ἁγιασμός.

Ἐν εἰρήνῃ προέλθωμεν.

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη.

[97] C R Δέσποτα, ὁ Παντοκράτωρ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀνα- (1)
στάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας τὰ θεοχάρακτα γράμματα τῷ θεράποντί σου Μωσεῖ, παράσχου καὶ ἡμῖν, ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι,
καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ (2)
τὴν ἁγίαν ἀνάστασιν· ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ λεγομένη ἐν τῷ σκευοφυλακίῳ. (3)

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ταύτας ἡμέρας καὶ κοινω- [97] C R

(1) C R ἰατρείαν παθῶν. (2) C R φθάσαι καὶ προσκυνῆσαι. (3) Ι. 10 ἐν τῷ διακονικῷ.

SIXTEENTH CENTURY.

Εὐχαριστοῦμέν σοι, τῷ Σωτῆρι τῶν ὅλων Θεῷ...κληρονομίαν, *ut supra*.

Ὁ διάκονος. Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων.

(a) Ἀντιλαβοῦ. Τὴν ἑσπέραν πᾶσαν.

Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὺ εἶ ὁ ἁγιασμός.

Ὁ χορός. Ἀμήν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Δέσποτα Παντοκράτωρ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας...πρὸς ἐγκράτειαν παθῶν...νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν ἀνάστασιν......αἰώνων, *ut supra*.

Ὁ χορός. Ἀμήν. (b)

Κἀνταῦθα ὁ χορὸς ψάλλει τὰ αὐτὰ τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς...
αἰώνων. Ἀμήν. (c)

Ὁ χορὸς λέγει τοὺς ψαλμούς, τὸ Εὐλογήσω

(a) R significantly τὴν ἡμέραν πᾶσαν.
(b) G and R omit this.
(c) G omits this.

ELEVENTH CENTURY.

νοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου μυστηρίων, συνάψον ἡμᾶς τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

'Αμήν.

Εὔχου καὶ ὑπὲρ ἐμοῦ τοῦ τάλανος καὶ (1)
σκαιωτάτου παντὸς ἀνθρώπου ματθαίου sic
ἀων ὦ θύτα.

(1) I. 10 of course omits this.

SIXTEENTH CENTURY.

τὸν Κύριον, καὶ τὸ Ὑψώσω σέ, Κύριε ὁ Θεός μου.

Ὁ δὲ ἱερεὺς ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ δίδωσι τὸ ἀντίδωρον· εἶτα ποιεῖ ἀπόλυσιν, καὶ τὰ αὐτὰ λέγει καὶ ποιεῖ ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου καὶ Βασιλείου λειτουργίᾳ.

Τέλος τῆς θείας λειτουργίας τῶν προηγιασμένων.

LITURGY OF SAINT PETER.

LITURGY OF SAINT PETER.

[This Liturgy was edited by William de Linden, Bishop of Ghent in the year 1589, but he gave no information as to the source from which it was drawn, save that it came "ex amplissima et instructissima Gulielmi Cardinalis Sirleti bibliotheca." There can be no doubt that the Cardinal had procured his copy from the Rossano MS. Yet this, its origin, was unknown until my transcript of the Rossano MS. arrived in England. M. Omont has subsequently found that the National Library at Paris contains another copy, in "MS. Supp[t]. gr. 476," and the interest in the Liturgy is so far increased.

I must reserve for the introductory chapters of this volume all notes upon this Liturgy: merely adding here that, until the Messina fragment of S. Mark's Liturgy and the Vatican Roll of the same were discovered, this apocryphal Liturgy of Saint Peter rested on the same amount of Manuscript authority as did the received and frequently reprinted text of that more famous Liturgy. I have added the text of the old Roman Canon, for it is evident that the Greek, in the corresponding parts, is, with few though important exceptions, simply a rude translation of the ancient Latin. It will be observed that the translation was made before the words "*vel* pro quibus offerimus" were authorized as an alternative for the "qui tibi offerunt" in the prayer "Memento Domine" (p. 196), but after the "Agnus Dei" was added (p. 201). I have taken this ancient Latin from the so-called "Gelasian Sacramentary," as reprinted by Muratori from the copy published by Thomasius in 1680.

The text gives the Liturgy of the Rossano Codex: the notes the reading of the Paris MS. The figures in the margin denote the pages of the Rossano MS.]

LITURGY OF SAINT PETER.

CODEX ROSSANENSIS.

(1) fol. 30 b ✠Ἡ θεία λειτουργία τοῦ ἁγίου Ἀποστόλου Πέτρου.

(2) *Εὐχὴ εἰς τὸ προσκομίσαι τὸν ἄρτον.*

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου.

fol. 31 *Καὶ εἰς τὸ ἑνῶσαι τὸ αἷμα καὶ τὸ ὕδωρ λέγει,*

Εἷς δὲ τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, τὸ πηγάσαν τὴν τοῦ κόσμου σωτηρίαν.

Εἶτα ποιεῖ εὐχὴν τῆς προθέσεως.

(3) Κύριε ὁ Θεὸς ἡμῶν, ὁ προθεὶς ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ἔπιδε ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἄρτον τοῦτον, καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, καὶ ποίησον αὐτὸ ἄχραντόν σου σῶμα, καὶ τίμιον αἷμα, εἰς μετάληψιν ψυχῶν τε καὶ σωμάτων· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρός, καί.

Εὐχὴ τοῦ θυμιάματος.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμε- (4)
νος, φῶς οἰκῶν ἀπρόσιτον, αὐτός, Δέσποτα,
οἰκείᾳ φιλανθρωπίᾳ πάριδε ἡμῶν τὰς πολ-
λὰς ἁμαρτίας, καὶ ὡς προσεδέξω τὸ θυμίαμα
Ζαχαρίου, οὕτως καὶ ἐκ τῶν χειρῶν ἡμῶν fol. 31 b
τῶν ἁμαρτωλῶν πρόσδεξαι τὸ θυμίαμα τοῦτο
εἰς ὀσμὴν εὐωδίας, καὶ ποίησον ἔλεος μεθ'
ἡμῶν· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάν-
τιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ.

(1) The text is from the Rossano MS. In the notes P denotes the reading of the Paris MS.

(2) In the Vatican Roll of Saint Mark this is called *εὐχὴ τῆς προθέσεως*, p. 2. See too the modern Liturgy of Saint Chrysostom, p. 104. P omits all to the words *εὐχὴ τοῦ θυμιάματος*.

(3) Comp. St Mark, p. 2, and St Chrysostom, p. 88.

(4) The prayer in P is as follows :

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου, σὺ ἐξάλειψον πάντα τὰ παραπτώματα ἡμῶν, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῇ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος δοξάζειν καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου· ὅπως, εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει, ἀξιωθῶμεν ἐπιτελέσαι τὴν θείαν σου λειτουργίαν, καὶ προσφέρειν εἰς τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον τὸ παρὸν θυμίαμα, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· σὺ γὰρ εἶ ὁ ἁγιάζων καὶ ἁγιαζόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰ[ώνων. ἀμήν].

CODEX ROSSANENSIS.

(1) *Καὶ θυμιῶν καλύπτει τὰ δῶρα, λέγων,*

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Κύριε, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Καὶ ἐπάγει λέγων,

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος.

(2) *Καὶ θυμιᾷ τὸν ναόν.*

Εἶτα ἐκφώνως ὁ διάκονος.

(3) Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεὺς λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ.

Ὁ διάκονος. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου.

Ὑπὲρ τοῦ πατρὸς καὶ πατριάρχου ἡμῶν τοῦ Δ΄. τοῦ τιμίου.

CODEX ROSSANENSIS.

Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τοῦ συμπολεμῆσαι.

Ὑπὲρ τῆς πόλεως ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ὁ ἱερεὺς ποιεῖ εὐχὴν τῆς εἰσόδου. fol. 2

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων. (4)

Ζήτει εἰς τὴν λειτουργίαν τοῦ ἁγίου Βασιλείου. (5)

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καί.

Καὶ εὐθέως. Σοφία, ὀρθοί.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος. (6)

(1) Compare St Chrysostom (modern), pp. 107, 108. Instead of this P has the following:

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν.

Εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν, τὴν πρόθεσιν ταύτην, καὶ παράσχου τοῖς δούλοις σου καρδίαν καθαρὰν καὶ λογισμὸν ἀνεπαίσχυντον, ὅπως ἄξιοι εὑρεθῶμεν προσελθεῖν καὶ προσψαῦσαι τοῦ σοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος, καὶ ἀκατακρίτους ἡμᾶς ποίησον παραστῆναι ἐνώπιόν σου ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, δωρούμενος ἡμῖν δι' αὐτοῦ ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ἅγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου [Πνεύματος].

Εἶτα ποιεῖ ἀπόλυσιν καὶ λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς. Εὐλογημένη.

Καὶ ἄρχεται· Ὁ μονογενής, καὶ ἐξελθὼν ποιεῖ εἴσοδον.

Εὐχὴ τῆς εἰσόδου. Εὐεργέτα ut infra.

(2) Linden prints *λαόν*.

(3) Compare (to the prayer of entrance) St Chrysostom, p. 110.

(4) The following is the prayer of entrance in P:

Εὐεργέτα ὅλων καὶ πάσης κτίσεως Δημιουργέ, πρόσδεξαι προσιοῦσαν σοι τὴν ἐκκλησίαν σου καὶ ἑκάστου τὸ συμφέρον ἐκπλήρωσον, καὶ ἄγαγε πάντας εἰς τὴν τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς βασιλείας σου, διὰ τῆς χάριτος τοῦ ἁγιασμοῦ σου ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.

Then follow the *Σοφία, ὀρθοί*, and *Δεῦτε, προσκυνήσωμεν. Ὁ Κύριος μεθ' ὑμῶν. Εὐξώμεθα.*

(5) The Liturgy of Saint Basil has unhappily been removed from the Rossano codex. But the prayer may be seen above, p. 76, and in St Chrysostom, p. 114.

(6) For this hymn see p. 12.

CODEX ROSSANENSIS.

Καὶ δοξάζει, καὶ λέγει κάθισμα (?) τὸ κατὰ τὴν ἡμέραν. εἶτα ὁ ἱερεὺς λέγει λαμπρᾷ τῇ φωνῇ,

Ὁ Κύριος μεθ᾽ ὑμῶν.

Ὁ *λαός.* Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ *ἱερεύς.* Εὐξώμεθα.

(1) Ὁ *λαός.* Κύριε, ἐλέησον. γ΄.

Ὁ *ἱερεὺς μεγάλῃ τῇ φωνῇ.*

(2) Παράσχου ἡμῖν, Κύριε, τοῖς δούλοις σου δεξιὰν οὐρανίου βοηθείας, ἵνα σε ἐν ὅλῃ τῇ
(sic) καρδίᾳ ἐκζητήσωσι, καὶ ἅπερ ἀξίως αἰτοῦνται κατευοδωθῶσι, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ ζῇς καὶ βασιλεύεις, ὁ Θεὸς ἡμῶν, εἰς ἑνότητα Πνεύματος
Fol. 32b ἁγίου, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ *λαός.* Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός.

Καὶ τοῦ λαοῦ λέγοντος τὸν τρισάγιον, ὁ ἱερεὺς ἐπεύχεται.

Δέσποτα, ὁ Θεός, ὁ Παντοκράτωρ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ ὑπὸ τῶν οὐρανίων δυνάμεων τὸν τρισάγιον ὕμνον προσδεχόμενος, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, (3)
χαριζόμενος ἡμῖν τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων σου.

Ὁ *ἱερεύς.* Πρόσχωμεν. Εἰρήνη πᾶσιν.

Ὁ *λαός.* Καὶ τῷ πνεύματί σου.

Ὁ *ἱερεύς.* Σοφία.

Εἶτα λέγει προκείμενον, ἀπόστολον, ἀλληλούϊα, (4)
καὶ εὐαγγέλιον, καὶ εὐθέως τὴν ἐκτενῆ.

Ἐλέησον ἡμᾶς, ὁ Θεός.

Καὶ λέγει εὐχὴν τῆς ἐκτενῆς. (sic)

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην (sic)
ἱκεσίαν.

Ζήτει. Προεγράφη εἰς τὴν λειτουργίαν τοῦ ἁγίου (5)
Βασιλείου.

Καὶ μετὰ τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν εὐθέως λέγει,

---

(1) P interposes the following:

Εὐχὴ ἣν λέγει ὁ ἱερεύς·

Τὸ στόμα ἡμῶν, δεόμεθα, Κύριε, ἀγαλλιάσεως πλήρωσον καὶ τῆς σῆς αἰνέσεως ἐν χαρᾷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ σου μεθ᾽ οὗ ζῇς καὶ βασιλεύεις, ὁ Θεὸς ἡμῶν, εἰς ἑνότητα Πνεύματος ἁγίου, εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ λέγει· Δόξα ἐν ὑψίστοις, ἕως εἰς δόξαν Θεοῦ Πατρός. Καὶ ἄρχεται λέγειν· Κύριε, ἐλέησον, γ΄. Χριστέ, ἐλέησον, γ΄. Καί, Κύριε, ἐλέησον, γ΄.

(The *Kyrie eleison* and *Gloria in excelsis* are in the Gregorian though not in the Gelasian Ordo.)

Καὶ ὁ λαός· Ὁ Κύριος μεθ᾽ ὑμῶν.

Ὁ διάκονος ἐκφωνεῖ· Εὐξώμεθα.

(2) P is slightly different:

Ὁ ἱερεὺς κλινόμενος λέγει τὴν εὐχήν.

Παράσχου, Κύριε, τοῖς δούλοις σου τοῖς πιστοῖς δεξιὰν οὐρανίου βοηθείας, ἵνα σὲ ἐν ὅλῃ καρδίᾳ ἐκζητήσωσι, καὶ ἅπερ ἀξίως αἰτοῦνται κατευοδωθῶσι, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ σου.

Ἐκφώνησις. Ὅτι ἅγιος εἶ, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ὁ λαός. Τὸ τρισάγιον.

Εὐχὴ τοῦ τρισαγίου. Δέσποτα, ὁ Θεὸς Παντοκράτωρ, ut supra.

(3) P concludes the prayer thus:

τὸν τρισάγιον ὕμνον, χαριζόμενος ἡμῖν πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν καὶ τὴν ἡμέραν πᾶσαν ἀναμάρτητον, κ.τ.λ.

(4) Ordo Gregorianus: "Deinde sequitur *Apostolum.* Item *Gradalis* seu *Alleluia.* Postmodum legitur *Evangelium.* Deinde *offertorium* et dicitur *oratio super oblata.*"

Linden prints ἀποστολικόν, but I think I am correct.

(5) See p. 77, and elsewhere.

CODEX ROSSANENSIS.

Οἱ τὰ χερουβὶμ μυστικῶς.

Καὶ λέγει ὁ ἱερεὺς εὐχὴν ὑπὲρ ἑαυτοῦ, τοῦ χερουβικοῦ ᾀδομένου, οὕτως·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς.

Ζήτει. Προεγράφη εἰς τὴν λειτουργίαν τοῦ ἁγίου Βασιλείου.

Καὶ μετὰ τὸ ἀποθέσθαι τὰ ἅγια ἐν τῇ ἁγίᾳ τραπέζῃ, ὁ ἱερεὺς νίπτει τὰς χεῖρας αὐτοῦ, λέγων,

(3) Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου.

Καὶ ποιεῖ τρεῖς μετανοίας λέγων,

(4) Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι.

Καὶ εὐθέως ὁ ἱερεὺς ἐκφωνεῖ,

Ὁ Κύριος μεθ' ὑμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Τὰς θύρας· τὰς θύρας.

p. 7 *Ὁ λαός.* ΠΙϹΤΕΥѠ ΕΙϹ ΕΝΑ.

Ὁ ἱερεύς. Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου.

CODEX ROSSANENSIS.

Ὁ λαός. Ἔλεον, εἰρήνην.

Ὁ ἱερεὺς λέγει μεγάλῃ τῇ φωνῇ, (5)

Θυσίαν, Κύριε, σοὶ προορισθεῖσαν προσφορὰν ἁγίασον· καὶ δι' αὐτῆς ἡμᾶς ἀσμένως πρόσδεξαι διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ σου, μεθ' οὗ ζῇς καὶ fol. 33 b
βασιλεύεις, ὁ Θεός, εἰς ἑνότητα Πνεύματος ἁγίου, εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν. (6)

(1) See page 121, note (*c*).

Instead of the next nineteen lines P has:

Ὁ διάκονος. Τὰς *κεφαλάς.*

Ὁ ἱερεὺς μυστικῶς τὴν εὐχὴν ταύτην·

Δέσποτα ζωοποιὲ καὶ ἀγαθῶν χορηγέ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταξίωσον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος.

Ἐκφώνησις. Ὅπως ὑπὸ τοῦ κράτους (see p. 157).

Καὶ μετὰ τὸ τεθῆναι τὰ ἅγια ἐν τῇ ἁγίᾳ τραπέζῃ λέγει ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, ὅτι πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας δόξης αὐτοῦ.

(Compare S. Chrysostom, p. 125.)

Ὁ λαός. Κύριε, ἐλέησον. γʹ.

Ἐκφωνεῖ ὁ ἱερεύς. Ὅτι Θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ ὁμογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι.—Καὶ μετὰ τὸν ἀσπασμὸν λέγει ὁ διάκονος, Ἐν σοφίᾳ Θεοῦ πρόσχωμεν.

And the people say the Creed.

(2) See page 78: or, more probably, p. 157 (122).

(3) Comp. S. Chrysostom (modern), p. 104.

(4) Comp. S. Chrysostom (modern), p. 125.

(5) In P the prayer is said *μυστικῶς* until the words *εἰς πάντας τοὺς αἰῶνας* which the priest *ἐκφωνεῖ μεγάλως.*

(6) P omits this, but prefixes Ὁ Κύριος *μεθ' ὑμῶν.*

CODEX ROSSANENSIS.

ταύτην τὴν ἁγίαν θυσίαν, τὴν ἀμώμητον.
ἐν πρώτοις ἅπερ σοι προσφέρομεν ὑπὲρ τῆς
(1) ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς
(2) ἐκκλησίας, εἰρηνεῦσαι, διαφυλάξαι, ἑνῶσαι,
(sic) κυβερνῆσαι, καταξιώσῃς πάντα τὰ πέρατα
(3) τῆς γῆς, ἅμα τῷ δούλῳ σου τῷ Πάπᾳ καὶ
Πατριάρχῃ ἡμῶν τῷ Δ., καὶ τῆς ἐμῆς
ἐλεεινότητός τε καὶ ἀναξιότητος. μνήσθητι,
Κύριε, τῶν δούλων σου καὶ τῶν δουλίδων
(4) σου, καὶ πάντων τῶν παρισταμένων, ὧν σοι
ἡ πίστις δήλη ἐστί, καὶ φανερὰ ἡ πρόθεσις,
(5) οἵτινες προσφέρουσι ταύτην τὴν θυσίαν τῆς
(6) fol. 84 b αἰνέσεως ὑπὲρ ἑαυτῶν καὶ τῶν ἰδίων τε πάν-
(7) των, ὑπὲρ ἀναῤῥύσεως ψυχῶν καὶ σωμάτων,
ὑπὲρ ἐλπίδος καὶ σωτηρίας καὶ ῥύσεως αὐτῶν·
σοὶ ἀποδιδοῦσι τὰς εὐχὰς αὐτῶν, τῷ αἰωνίῳ,
ζῶντι, καὶ ἀληθινῷ Θεῷ· κοινωνοῦντες καὶ
(8) τὴν μνήμην σεβόμενοι

(9) Χαῖρε, κεχαριτωμένη Μαρία, ὁ Κύριος
μετά σου.

Ἐκφώνως. Ἐν πρώτοις τῆς ἁγίας ἐνδόξου
καὶ ἀειπαρθένου Μαρίας, γεννητρίας τοῦ
Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ· ἀλλὰ μὴν καὶ τῶν μακαρίων σου
ἀποστόλων καὶ μαρτύρων, Πέτρου, Παύλου,
(10) Ἀνδρέου, Ἰακώβου, Ἰωάννου, Θωμᾶ, Φιλίπ-

CANON ACTIONIS.

sacrificia ✠ inlibata. Inprimis quae tibi offerimus pro ecclesia tua sancta Catholica: quam pacificare, custodire, adunare et regere digneris toto orbe terrarum una cum famulo tuo Papa nostro illo et antistite nostro illo Episcopo.

Memento, Domine, famulorum famularumque tuarum et omnium circumadstantium, quorum tibi fides cognita est et nota devotio: qui tibi offerunt hoc Sacrificium laudis pro se suisque omnibus: pro redemptione animarum suarum, pro spe salutis et incolumitatis suae tibi reddunt vota sua aeterno Deo vivo et vero.

Communicantes et memoriam venerantes

inprimis gloriosae semperque virginis Mariae genitricis Dei et Domini nostri Iesu Christi, sed et beatorum Apostolorum ac Martyrum tuorum Petri, Pauli, Andreae, Iacobi, Iohannis, Thomae, Iacobi, Philippi, Bartholomaei,

(1) Notice: "Catholic and Apostolic Church."

(2) P ἣν εἰρήνευσον, διαφύλαξαι, ἕνωσον, κυβέρνησον, καὶ καταξίωσον.

(3) P ἅμα τοῖς δούλοις σοι, τοῦ πατριάρχου καὶ τῆς ἐμῆς ταπεινώσεως καὶ ἀναξιότητος.

Ἐκφώνησις. Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἐπισκόπου.

(4) P τῶν κύκλῳ παρισταμένων.

(5) P σοὶ προσφέρουσιν.

(6) P τῶν ἰδίων ἁπάντων.

(7) P ἀναρρήσεως τῶν ψυχῶν αὐτῶν.

(8) P + ἡ ζωὴ καὶ ἡ ἀνάστασις αὐτῶν (*sic*).

(9) The Latin Canon and P omit the invocation, the latter having in its stead Ἐκφώνησις. Ἐξαιρέτως τῆς παναγίας.

(10) P omits Ἰωάννου here and adds Ἰούδα, Ματθία, Μάρκου, Λουκᾶ, Λίνου, Χρυσοστόμου (instead of Χρυσογόνου), Ἱλαρίωνος, Μαρτίνου, Ἱερωνύμου, Ἀμβρωσίου, Γρηγορίου, Βενεδίκτου, Ἀντωνίου, Νικολαίου, Βασιλείου; the latter nine after Damianus. (Νεῖλου in the text is a mistake for Λίνου.)

CODEX ROSSANENSIS.

του, Βαρθολομαίου, Ματθαίου, Σίμωνος,
Θαδδαίου, Νείλου, Κλητοῦ, Κλήμεντος,
Ξύστου, Κορνηλίου, Κυπριανοῦ, Λαυρεντίου,
Χρυσογόνου, Ἰωάννου καὶ Παύλου, Κοσμᾶ
(1) καὶ Δαμιανοῦ, καὶ πάντων τῶν ἁγίων σου·
Fol. 35 ὧν τινων τῇ πρεσβείᾳ καὶ ταῖς ἱκεσίαις
(2) παράσχου, ἵνα ἐν πᾶσι τῇ σκέπῃ σου φρου-
(3) ρώμεθα, βοηθούμενοι διὰ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ.

(4) *Ἐνταῦθα ἀναφέρει τοὺς κοιμηθέντας.*

Ταύτην τοίνυν τὴν προσφορὰν τῆς δου-
λείας ἡμῶν, ἀλλὰ καὶ παντὸς τοῦ λαοῦ σου,
(5) ἣν σοὶ προσφέρομεν, δεόμεθα, Κύριε, ἀσμέ-
νως πρόσδεξαι· τὰς ἡμέρας ἡμῶν ἐν εἰρήνῃ
(6) διοίκησον· ἀπὸ τῆς μελλούσης αἰωνίου κατα-
κρίσεως λύτρωσαι, καὶ εἰς τὴν τῶν ἐκλεκτῶν
σου κέλευσον ἀγέλην συναριθμηθῆναι· διὰ
(7) τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἵνα ἐν
(sic) πᾶσι τῇ σκέπῃ σου, δεόμεθα, εὐλογημένην,
ἀπερίγραπτον, ἐράσμιον, εὐαπολόγητον,
προσδεκταίαν τε ποιῆσαι καταξιώσῃς, ἵνα
ἡμῖν σῶμα καὶ αἷμα γένηται τοῦ ἀγαπητοῦ
(8) σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὃς πρὸ μιᾶς ἡμέρας τοῦ πάθους αὐτοῦ
(9) λαβὼν ἄρτον εἰς τὰς ἁγίας ἀχράντους χεῖρας
αὐτοῦ, ἄρας τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν

CANON ACTIONIS.

Matthaei, Simonis et Taddaei, Lini, Cleti, Clementi, Xysti, Cornelii, Cypriani, Laurentii, Chrysogoni, Iohannis et Pauli, Cosmae et Damiani, Dionysii, Rustici, Eleutherii, Hilarii, Martini, Augustini, Gregorii, Hieronymi, Benedicti et omnium Sanctorum tuorum: quorum meritis precibusque concedas, ut in omnibus protectionis tuae muniamur auxilio. Per Christum Dominum nostrum.

Hanc igitur oblationem servitutis nostrae sed et cunctae familiae tuae, quaesumus, Domine, placatus accipias; diesque nostros in tua pace disponas; atque ab aeterna damnatione nos eripi et in electorum tuorum iubeas grege numerari. Per Christum Dominum nostrum.

Quam oblationem tu, Deus, in omnibus quaesumus benedictam, adscriptam, ratam rationabilem acceptabilemque facere digneris: ut nobis Corpus et Sanguis fiat dilectissimi Filii tui Domini nostri Iesu Christi.

Qui pridie quam pateretur accepit panem in sanctas ac venerabiles manus suas: elevatis oculis in caelum ad te

(1) The modern Roman Canon ends with Damianus. But in earlier times other saints were also commemorated here, varying from place to place. (This seems to shew that the Greek translation of the Rossano Codex was made after the names were limited.)

(2) P *παράσχου ἡμῖν.*

(3) P *καὶ τῇ βοηθείᾳ τῇ σῇ.*

(4) P omits this, and so did the Latin Canon.

(5) The phrase *ἣν σοὶ προσφέρομεν*, is not in P nor in the Latin Canon.

(6) P *τῆς αἰωνίου.*

(7) P reads thus: *διὰ Ἰ. Χ. τοῦ Κ. ἡμῶν, ἣν προσφορὰν σοι, ὁ Θεὸς, ἐν πάσῃ δεόμεθα τῇ σκέπῃ σου εὐλογημένην.* But *ἐν πάσῃ* seems to be a mistake for *ἐν πᾶσι* = in omnibus.

(8) P *Ἰησοῦ Χριστοῦ. Καὶ λαβὼν ὁ ἱερεὺς τὸν ἄρτον λέγει μυστικῶς, αἴρων τὴν ἀναφοράν. Ὅστις.*

(9) P omits *ἀχράντους.*

CODEX ROSSANENSIS.

fol. 35 b *πρὸς σὲ τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ τὸν παντοδύναμον, σοὶ εὐχαριστῶν, εὐλόγησεν,*
(1) *ἔκλασεν, ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, λέγων,*

Ἐκφώνως. Λάβετε, φάγετε. Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον.

Καὶ ἐπάγει λέγων μυστικῶς,

Ὁμοίως πάλιν μετὰ τὸ δειπνῆσαι, λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας εὐλόγησεν· ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, λέγων·

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες. Τοῦτό ἐστι τὸ αἷμά μου.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται. Ταῦτα ὁσάκις ἐὰν ποιῆτε, ἐν τῇ ἐμῇ μνήμῃ ποιεῖτε. Ὅθεν μνημονεύοντες, Κύριε, ἡμεῖς οἱ σοὶ δοῦλοι, ἀλλὰ καὶ ὁ λαὸς ὁ ἅγιος τοῦ Χριστοῦ σου, Κυρίου δὲ ἡμῶν καὶ Θεοῦ, τοῦ τε μακαρίου πάθους, ναὶ μὴν καὶ τῆς ἐκ τοῦ ᾅδου ἐγέρσεως, ἀλλὰ καὶ τῆς εἰς οὐρανοὺς ἐνδόξου ἀναβάσεως,

Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ [πάντα],

fol. 36 *Ὁ λαός.* Σὲ ὑμνοῦμεν· σὲ εὐλογοῦμεν.

Ὁ ἱερεὺς εὔχεται. Τὰ σὰ ἐκ τῶν σῶν
(2) προσφέρομεν τῇ τιμίᾳ μεγαλωσύνῃ σου, ἐκ τῶν σῶν δωρεῶν καὶ χαρισμάτων, θυσίαν
(3) καθαράν, θυσίαν ἁγίαν, θυσίαν ἄμωμον, ἄρτον ἅγιον ζωῆς αἰωνίου, καὶ ποτήριον

CANON ACTIONIS.

Deum Patrem suum Omnipotentem, tibi gratias agens, benedixit, fregit, deditque discipulis suis dicens: Accipite, et manducate ex hoc omnes: Hoc est enim Corpus meum.

Simili modo postea quam coenatum est, accipiens et hunc praeclarum Calicem in sanctas ac venerabiles manus suas, item tibi gratias agens, benedixit, dedit discipulis suis dicens: Accipite et bibite ex eo omnes: Hic est enim Calix sanguinis mei, novi et aeterni testamenti, Mysterium Fidei, qui pro vobis et pro multis effundetur in remissionem peccatorum. Haec quotiescunque feceritis in mei memoriam facietis.

Unde et memores sumus, Domine, nos tui servi sed et plebs tua sancta Christi Filii tui Domini nostri tam beatae Passionis, nec non et ab inferis Resurrectionis, sed et in caelis gloriosae Ascensionis: offerimus praeclarae Maiestati tuae de tuis donis ac datis Hostiam puram, Hostiam sanctam, Hostiam immaculatam, Panem sanctum vitae aeternae, et Calicem salutis perpetuae.

(1) P *τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών, Λάβετε, φάγετε ἐξ αὐτοῦ.*

Ἐκφώνησις. *Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λαβὼν ἐν ταῖς ἁγίαις καὶ ἀχράντοις χερσὶν αὐτοῦ, πάλιν σοὶ εὐχαριστῶν, εὐλόγησε καὶ ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, λέγων,*

Ἐκφωνεῖ. *Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ ἐστι τὸ ποτήριον τὸ αἷμά μου νέας διαθήκης, μυστήριον καὶ αἰωνίου πίστεως, ἥτις ὑπὲρ ὑμῶν καὶ ὑπὲρ πολλῶν ἐκχέεται εἰς ἄφεσιν ἁμαρτιῶν.*

Καὶ πάλιν καλύπτει τὰ ἅγια, καὶ λέγει μυστικῶς ὁ ἱερεύς,

Ταῦτα ὁσάκις ἐὰν ποιῆτε ἐν τῇ ἐμῇ ἀναμνήσει ποιεῖτε.

Ὅθεν καὶ μνημονεύοντες κ.τ.λ.

(The Greek is remarkable though erroneous.)

(2) P *τῇ μιᾷ [τιμίᾳ] θεότητί σου.*

(3) P omits *θυσίαν ἁγίαν, θυσίαν ἄμωμον.*

CODEX ROSSANENSIS.

σωτηρίας ἀεννάου· ὑπὲρ ὧν ἵλεῳ καὶ εὐιλά-
τῳ προσώπῳ ἐπισκέψαι καταξιώσῃς, καὶ
(1) προσδεκταῖα σχεῖν, καθὰ κατηξίωσας τὰ
δῶρα τοῦ παιδός σου τοῦ δικαίου Ἀβέλ,
καὶ τὴν θυσίαν τοῦ πατριάρχου ἡμῶν Ἀ-
βραάμ· καὶ ὥσπερ σοι προσήγαγεν ὁ
πρῶτος ἱερεύς σου Μελχισεδέκ, ἁγίαν θυ-
σίαν, ἄμωμον προσφοράν. ἱκετεύοντές σε
(2) δεόμεθα, παντοδύναμε Θεέ, κέλευσον ταῦτα
διακονηθῆναι διὰ χειρὸς ἁγίου ἀγγέλου σου
εἰς τὸ ὑψηλόν σου θυσιαστήριον, ἐνώπιον
(3) τῆς θείας μεγαλειότητός σου, ἵνα οἵαν
Fol. 86 b δήποτε ἐκ τούτου τοῦ θυσιαστηρίου μερίδα
(4) ἁγίαν τοῦ σώματος τοῦ Υἱοῦ σου ἢ καὶ τοῦ
αἵματος ληψώμεθα, πάσης ἐπουρανίου εὐ-
λογίας καὶ χάριτος ἐμπλησθῶμεν, διὰ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

(5) Ἐκφώνως. Ἐν πρώτοις μνήσθητι, Κύριε,
τοῦ ἀρχιεπισκόπου.

Ἐνταῦθα ἀναφέρει τοὺς ζῶντας.

Ἡμῖν οὖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις
(6) δούλοις σου, τοῖς εἰς τὸ πλῆθος τοῦ ἐλέους
σου ἐλπίζουσι, μέρος καὶ κοινότητα χα-
ρίσασθαι καταξίωσον μετὰ τῶν ἁγίων σου
(7) ἀποστόλων καὶ μαρτύρων, μετὰ Ἰωάννου,
(8) Στεφάνου, Ματθαίου, Βαρνάβα, Ἰγνατίου,
(9) Ἀλεξάνδρου, Μαρκελλίνου, Πέτρου, Φηλι-

CANON ACTIONIS.

Supra quae propitio ac sereno vultu respicere digneris et accepta habere, sicuti accepta habere dignatus es munera pueri tui iusti Abel, et sacrificium patriarchae nostri Abrahae, et quod tibi obtulit summus sacerdos tuus Melchisedech, sanctum sacrificium, immaculatam hostiam.

Supplices te rogamus, omnipotens Deus, iube haec perferri per manus Angeli tui in sublime altare tuum in conspectu divinae Maiestatis tuae: ut quotquot ex hac altaris participatione sacrosanctum Filii tui Corpus et Sanguinem sumpserimus, omni benedictione caelesti et gratia repleamur. Per Christum Dominum nostrum.

Nobis quoque peccatoribus, famulis tuis, de multitudine miserationum tuarum sperantibus, partem aliquam societatis donare digneris cum tuis sanctis Apostolis et Martyribus, cum Iohanne, Stephano, Matthia, Barnaba, Ignatio, Alexandro, Marcellino, Petro, Felicitate,

(1) P *καὶ προσδεκταίαν ἔχεις* (*ἔχειν?*).

(2) P interpolates *καὶ ἀσπάζεται τὴν ἁγίαν τράπεζαν καὶ λέγει μυστικῶς τὴν εὐχὴν ταύτην.*

(3) P *ἐνώπιον τοῦ θείου προσώπου σου.*

(4) P *τοῦ ἁγίου σώματος* and omits *ἢ*.

(5) For the next three lines P has simply *καὶ κλίνας τὴν κεφαλὴν λέγει μυστικῶς.* Ἡμῖν.

The Canon since the twelfth century has here a prayer for those who have departed this life with the sign of faith and sleep in the sleep of peace. It is not in the older MSS. and it will be noted that it is not in the Greek. This again suits the date of the Rossano MS.

(6) P *τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους.*

(7) P *Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ.*

(8) P *Ματθία.*

(9) For *Φηλικιτάτης* P has here *καὶ τῶν ἁγίων τεσσεράκοντα*, and after *Ἰουλιανῆς* inserts *Αἰκατερίνης, Εὐγενίας, Εὐπραξίας,* proceeding thus *καὶ*

CODEX ROSSANENSIS.

κιτάτης, Περπετούας, Ἀγαθῆς, Λουκίας, Ἀγνῆς, Κικιλίας, Ἀναστασίας, Βαρβάρας, Ἰουλιανῆς, τῶν πανενδόξων τεσσαράκοντα μαρτύρων καὶ πάντων σου τῶν ἁγίων, μεθ' ὧν ἡμᾶς σύνταξον, μὴ ἐπισκέπτων τὰς
(sic) πράξεις, ἀλλὰ ἀφέσεως ἁμαρτιῶν, δεόμεθα,
fol. 37 ἄνεσιν παράσχου διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δι' οὗ ταῦτα πάντα, Κύριε, ἀεὶ τὰ ἀγαθὰ χορηγεῖς, ἁγιοποιεῖς, ζωοποιεῖς, εὐλογεῖς, καὶ παρέχεις ἡμῖν.

Καὶ κρατῶν τὸν ἄρτον ὁ ἱερεὺς κατασφραγίζει τὸ ποτήριον, λέγων,

Δι' αὐτοῦ, καὶ μετ' αὐτοῦ, καὶ ἐν αὐτῷ ἐστιν σοὶ τῷ Θεῷ καὶ Πατρὶ τῷ παντοδυνάμῳ εἰς ἑνότητα Πνεύματος ἁγίου πᾶσα τιμὴ καὶ δόξα.

Ἐκφώνως. Εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

(1) *Ὁ ἱερεὺς ἐκφώνως.* Εὐξώμεθα.

Ὁ λαὸς τὸ Κύριε, ἐλέησον, γ'.

Ὁ ἱερεὺς ἐκφώνως. Ἐκ τῆς θείας διδασκαλίας διδαχθέντες, καὶ ἐκ τῶν σωτηριωδῶν ὑπομνημάτων παιδευθέντες τολμῶμεν λέγειν,

(2) *Ὁ λαός.* Πάτερ ἡμῶν ὁ ἐν τοῖς.

Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα.

Εἰρήνη πᾶσι. Τὰς κεφαλάς.

CANON ACTIONIS.

Perpetua, Agatha, Lucia, Agne, Caecilia, Anastasia et cum omnibus Sanctis tuis: intra quorum nos consortia, non aestimator meriti, sed veniae quaesumus largitor admitte. Per Christum Dominum nostrum.

Per quem haec omnia, Domine, semper bona creas, sanctificas, vivificas, benedicis et praestas nobis.

Per ipsum, et cum ipso, et in ipso est tibi, Deo Patri omnipotenti, in unitate Spiritus Sancti omnis honor et gloria,

Per omnia saecula saeculorum. Amen.

Oremus.

Praeceptis salutaribus moniti, et divina institutione formati audemus dicere:

Pater noster, qui es in caelis, sanctificetur nomen tuum, etc.

πάντων τῶν ἁγίων σου μεθ' ὧν καὶ ἡμῶν τὴν μερίδα, μὴ ἐπισκέπτων τὰς πράξεις, ἀλλὰ σύνταξον τῷ κλήρῳ τῶν ἁγίων σου καὶ ἀφέσεως ἁμαρτιῶν καταξίωσον διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Καὶ πάλιν αἴρει τὴν ἀναφορὰν καὶ λαβὼν τὸν ἄρτον σφραγίζει μετ' αὐτοῦ ἐκ τρίτου τὸ ἅγιον ποτήριον μυστικῶς ἐπιλέγων, Δι' οὗτινος ταῦτα πάντα, Κύριε, ἀεὶ καλὰ χορηγεῖς, ἁγιοποιεῖς. Ἀμήν. Ζωοποιεῖς, Ἀμήν. Εὐλογεῖς, Ἀμήν.

Καὶ λαβὼν τὸ ἅγιον ποτήριον σφραγίζων ἐπάνω τοῦ δίσκου λέγει μυστικῶς,

Καὶ παρέχεις ἡμῖν. Δι' αὐτοῦ καὶ μετ' αὐτοῦ καὶ ἐν αὐτῷ ἐστι σοι τῷ Θεῷ καὶ Πατρὶ παντοδυνάμῳ ἅμα τῷ Πνεύματι τῷ ἁγίῳ πᾶσα τιμή.

(1) P omits two lines.

(2) The priest says the prayer in P. Then *Ὁ λαός. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ.*

CODEX ROSSANENSIS.

Ὁ *ἱερεὺς εὔχεται.* Ῥῦσαι ἡμᾶς, δεόμεθα,
(1) Κύριε, ἀπὸ παντὸς κακοῦ ἐνεστῶτος καὶ μέλ-
fol. 37 b λοντος, πρεσβείαις τῆς ἀχράντου καὶ δεδο-
(2) ξασμένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας, τῶν μακαρίων σου ἐν-
(3) δόξων Ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ
(4) (5) πάντων σου τῶν ἁγίων. παράσχου εἰρήνην
ἐν ταῖς καρδίαις ἡμῶν, ἵνα τῇ σκέπῃ τοῦ
ἐλέους σου βοηθούμενοι, ἐκ τῶν ἡμετέρων
ῥυσθῶμεν ἁμαρτιῶν, καὶ ἐκ παντὸς θορύβου
εὑρεθῶμεν ἀμέριμνοι, διὰ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ζῇς καὶ βασιλεύεις,
ὁ Θεὸς ἡμῶν, εἰς ἑνότητα Πνεύματος ἁγίου,

Ἐκφώνως. Εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ *λαός.* Ἀμήν.

Ὁ *ἱερεὺς ποιεῖ εὐχήν.* Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σοῦ.

(6) *Ζήτει. προεγράφη εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Βασιλείου.*

Ὁ *διάκονος.* Πρόσχωμεν.

Ὁ *ἱερεὺς ὑψοῖ τὸν ἄρτον λέγων,* Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ *λαός.* Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅγιος,
ἓν Πνεῦμα ἅγιον, εἰς ἑνότητα Πνεύματος
(7) ἁγίου. Ἀμήν.

Εἶτα λέγει κοινωνικόν. Ὁ ἀμνὸς τοῦ Θεοῦ,
fol. 38 ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον
(8) ἡμᾶς.

(1) P *προσόντος, ἐνεστῶτος.*

(2) P *τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου.*

(3) P omits *Πέτρου καὶ Παύλου.*

(4) P *παράσχου φιλάνθρωπε.*

(5) One of Gerbert's MSS. has "cum omnibus Sanctis," as in the Greek.

(6) See p. 86, 186, &c. [P omits this.]

CANON ACTIONIS.

Libera nos, quaesumus, Domine, ab omnibus malis praeteritis, praesentibus et futuris; et intercedente pro nobis beata et gloriosa semperque virgine, Dei genitrice Maria, et sanctis Apostolis tuis Petro et Paulo atque Andrea, da propitius pacem in diebus nostris; ut ope misericordiae tuae adiuti, et a peccatis simus liberi semper, et ab omni perturbatione securi. Per Dominum, etc.

Pax Domini sit semper vobiscum.

R. Et cum spiritu tuo.

Post haec commonenda est plebs pro ieiuniis IIIIti VIImi et Xmi mensis temporibus suis sive pro scrutiniis vel aurium apertione, sive orandum pro infirmis vel adnuntiandum Natalitia Sanctorum.

Post haec communicat Sacerdos cum ordinibus sacris cum omni populo.

(7) P *ἐκφωνεῖ ὁ ἱερεύς.* Ἡ *εἰρήνη τοῦ Κυρίου ἡμῶν* Ἰησοῦ Χριστοῦ *πάντοτε μεθ' ὑμῶν.* Ὁ *διάκονος τὸ κοινωνικόν.*

(8) P here inserts:

Πρὸ τῆς μεταλήψεως εὐχή.

Μεμολυσμένῃ ψυχῇ καὶ ῥυπαροῖς χείλεσι καὶ χερσὶν αἰσχραῖς καὶ πηλίνῃ γλώττῃ ὅλος ὑπάρχων

CODEX ROSSANENSIS.

Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, ὁ ἱερεὺς θυμιῶν λέγει,

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Καὶ μετὰ τὸ θυμιᾶσαι ἐκφωνεῖ,

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Ὁ λαός. Πληρωθήτω τὸ στόμα ἡμῶν.

Ὁ διάκονος. Ὀρθοί. Οἱ μεταλαβόντες τῶν θείων, ἀχράντων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν μυστηρίων, ἀξίως ἐπὶ πᾶσιν εὐχαριστήσωμεν τῷ.

Ἀντιλαβοῦ, σῶσον. *καὶ τὰ λοιπά.*

CODEX ROSSANENSIS.

Καὶ ὁ ἱερεὺς εὔχεται. Αὕτη ἡμᾶς, δεόμεθα, ἡ κοινωνία, Κύριε, καθαρίσει ἀπὸ παντὸς (sic) μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ οὐρανίων ἀγαθῶν ποιήσει εἶναι μετόχους διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ζῇς καὶ βασιλεύεις, ὁ Θεός, εἰς ἑνότητα Πνεύματος ἁγίου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐκφώνως. Ὅτι σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

Ὁ λαός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ ἱερεὺς λέγει εὐχὴν ὀπισθάμβωνον. (1)

Εὐλογητὸς ὁ Θεός, δι' οὗ τὸ ἄχραντον

ἁμαρτωλὸς καὶ ταπεινὸς καὶ ἀμετανόητος, φιλάνθρωπε, Σωτὴρ *τῶν ἀπεγνωσμένων λιμήν τε κινδυνευόντων, σὲ ἱκετεύω, ὁ καλῶν ἁμαρτωλοὺς εἰς μετάνοιαν,* Κύριε ὁ Θεός, *ἄνες, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ παραπτώματά μου, τὰ ἑκούσιά τε καὶ ἀκούσια, εἴτε ἐν λόγῳ, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν θυμήσει ἔπραξα, πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ μακρόθυμος καὶ πολυέλεος, ταῖς πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου* Μαρίας. *ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὴν ἁγίαν καὶ ἄχραντόν σου δωρεάν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς συγχώρησιν τῶν πονηρῶν μου πταισμάτων καὶ εἰς φωτισμὸν τῶν ἐντολῶν σου, ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ* Πατρὶ *καὶ τῷ* Υἱῷ.

[This and the following should be compared with the prayers (above, p. 168 note a, see too p. 137, note k) of the manuscript C of S. Basil and S. Chrysostom as used in the Greek churches of Italy and Sicily. The comparison suggests a possible origin of this Liturgy of S. Peter. See Introduction.]

Καὶ *λαβὼν ὁ ἱερεὺς τὸν ἄρτον τῆς μεταλήψεως λέγει μυστικῶς,* Μὴ *ἡμῖν, Δέσποτα, τὰ ἅγια ταῦτα εἰς κρίμα γενέσθω, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν καὶ εἰς κάθαρσιν ψυχῆς καὶ σώματος.*

Ὁμοίως λαβὼν τὸ ποτήριον τῆς μεταλήψεως λέγει μυστικῶς, Τὸ *σῶμά σου τὸ ἅγιον,* Κύριε, *γένοιτό μοι εἰς ζωήν, καὶ τὸ αἷμά σου τὸ τίμιον τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ἐν τῇ δικαίᾳ σου κρίσει ἀξίωσόν με στῆναι ἐκ δεξιῶν σου, καὶ γένοιτό μοι αὕτη ἡ εὐχαριστία εἰς χαρὰν καὶ εἰς ἴασιν τῆς ψυχῆς μου.*

Ὁ ἱερεὺς λέγει, Μετὰ *φόβου* Θεοῦ *καὶ πίστεως.*

[See S. Basil, p. 169, and S. Chrysostom, p. 141.]

Ὁ διάκονος. Ὁ Κύριος *μεθ' ὑμῶν.* Εὐξώμεθα.

Ἐκφώνησις. Εἶτα *ὁ ἱερεὺς μυστικῶς.* Αὕτη *ἡμᾶς, δεόμεθα,* Κύριε, *ἡ κοινωνία,* as above.

(1) P concludes as follows:

Ἐκφωνεῖ *ὁ ἱερεύς.* Ὁ Κύριος *μεθ' ὑμῶν.*

Ὁ διάκονος. Ἐν *εἰρήνῃ προέλθωμεν.* Τοῦ Κυρίου *δεηθῶμεν.*

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν.

Δέσποτα Κύριε, *ὁ Θεός, ὁ παντοκράτωρ, ὁ μὴ χωριζόμενος τῶν σῶν δούλων, ὁ μὴ παραβλέπων ψυχὰς τὰς σοῦ δεομένας, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου πάντων τῶν χριστιανῶν τῶν ὀρθοδόξων, ἐν παραδείσου τρυφῇ, ἐν χώρᾳ εὐσεβῶν, ὑπερβὰς τὰ αὐτῶν ἁμαρτήματα τὰ ἐν γνώσει καὶ τὰ ἐν ἀγνοίᾳ.* Ἐκείνους *μὲν ἐν τῇ προλαβούσῃ τρυφῇ καταξίωσον, ἡμᾶς δὲ μετὰ χαρᾶς συνάγαγε καὶ ἐν ἀφέσει ἁμαρτιῶν διατήρησον, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀεὶ παρθένου* Μαρίας, *τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου* Ἰωάννου *προφήτου καὶ προδρόμου καὶ βαπτιστοῦ,*

LITURGIES OF PALESTINE.

LITURGIES OF PALESTINE.

[The Greek Liturgy of Saint James, as it has hitherto been printed, has been taken, directly or indirectly, from the copy published by Morel at Paris in 1560. Morel gave no information as to the source from which his copy was derived; but in the preface to the edition of S. Mark (1583) there is a memorandum that seems to imply that the original of the Liturgy had been found in some Library at Paris. I have been successful through the most kind assistance of M. Delisle and M. Omont in obtaining collations or copies of two transcripts of this Liturgy from MSS. now lying in the National Library, and I have thought it better to print from these MSS. than give the Liturgy as published by Morel. I have however noted the variations between them and the printed edition. These two copies must be considered as appearing here for the first time. The same may be said of the copy from the Rossano Codex to which Monaldinius drew the attention of Assemani in 1760, and from which Monaldinius gave his friend Latin translations of the more important variations from the published text. I have printed the Greek at length. From the copy in the Messina Roll Monaldinius gave to Assemani important extracts, but the remains of the roll appear here for the first time at length. For an account of the MSS. I must refer to the Introduction.

It has been impossible to print on the same pages translations of the Syriac Versions of S. James. I have however noted in the margin by the letters S. R. and S. A. the parts of the Liturgy to which corresponding passages may be found in the Syriac Liturgies as translated by Renaudot and as edited by Assemani respectively. These parts probably date from a period before the Council of Chalcedon.

I have thought it desirable to prefix to this most important Liturgy of the Church of Palestine the brief account of the celebration of the Eucharist given by Justin Martyr in his Apology, and the more continuous account given by Cyril of Jerusalem in his addresses to "the newly enlightened," "the Mystagogic Catecheses," as they are called. To the Liturgy itself I have attached as notes such extracts from and references to the works of Saint John Chrysostom as clearly exhibit the relations between this Liturgy and that in use when Chrysostom was preaching at Antioch. Before the appearance in 1879 of Mr Hammond's interesting little book entitled "The Ancient Liturgies of Antioch, &c." I had been led to collect from Bingham, just as he has done, notes of illustrative fragments scattered over the pages of Chrysostom's works. I have admitted these quotations and references as notes to the passages which they illustrate. They will thus furnish additional help in the interesting attempt to discern between the Ancient and the Modern in this important Liturgy.]

LITURGIES OF PALESTINE.

JUSTINI MARTYRIS APOLOGIÆ PRIMÆ

CAPP. 65, 66, 67.

65. Ἡμεῖς δὲ μετὰ τὸ οὕτως λοῦσαι τὸν πεπεισμένον καὶ συγκατατεθειμένον ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν, ἔνθα συνηγμένοι εἰσί, κοινὰς εὐχὰς ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τοῦ φωτισθέντος καὶ ἄλλων πανταχοῦ πάντων εὐτόνως, ὅπως καταξιωθῶμεν τὰ ἀληθῆ μαθόντες καὶ δι' ἔργων ἀγαθοὶ πολιτευταὶ καὶ φύλακες τῶν ἐντεταλμένων εὑρεθῆναι, ὅπως τὴν αἰώνιον σωτηρίαν σωθῶμεν. Ἀλλήλους φιλήματι ἀσπαζόμεθα παυσάμενοι τῶν εὐχῶν. Ἔπειτα προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος καὶ ποτήριον ὕδατος καὶ κράματος, καὶ οὗτος λαβών, αἶνον καὶ δόξαν τῷ Πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τοῦ ἁγίου ἀναπέμπει, καὶ εὐχαριστίαν ὑπὲρ τοῦ κατηξιῶσθαι τούτων παρ' αὐτοῦ ἐπὶ πολὺ ποιεῖται· οὗ συντελέσαντος τὰς εὐχὰς καὶ τὴν εὐχαριστίαν πᾶς ὁ παρὼν λαὸς ἐπευφημεῖ λέγων· Ἀμήν. Τὸ δὲ Ἀμὴν τῇ Ἑβραΐδι φωνῇ τὸ Γένοιτο σημαίνει. Εὐχαριστήσαντος δὲ τοῦ προεστῶτος καὶ ἐπευφημήσαντος παντὸς τοῦ λαοῦ, οἱ καλούμενοι παρ' ἡμῖν διάκονοι διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρτου καὶ οἴνου καὶ ὕδατος, καὶ τοῖς οὐ παροῦσιν ἀποφέρουσι.

66. Καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ' ἡμῖν Εὐχαριστία, ἧς οὐδενὶ ἄλλῳ μετασχεῖν ἐξόν ἐστιν, ἢ τῷ πιστεύοντι ἀληθῆ εἶναι τὰ δεδιδαγμένα ὑφ' ἡμῶν, καὶ λουσαμένῳ τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ εἰς ἀναγέννησιν λουτρόν, καὶ οὕτως βιοῦντι ὡς ὁ Χριστὸς παρέδωκεν. Οὐ γὰρ ὡς κοινὸν ἄρτον οὐδὲ κοινὸν πόμα ταῦτα λαμβάνομεν, ἀλλ' ὃν τρόπον διὰ λόγου Θεοῦ σαρκοποιηθεὶς Ἰησοῦς Χριστὸς ὁ σωτὴρ ἡμῶν καὶ σάρκα καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν, οὕτως καὶ τὴν δι' εὐχῆς λόγου τοῦ παρ' αὐτοῦ εὐχαριστηθεῖσαν τροφήν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν, ἐκείνου τοῦ σαρκοποιηθέντος Ἰησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι. Οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ' αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως παρέδωκαν ἐντετάλθαι αὐτοῖς τὸν Ἰησοῦν, λαβόντα ἄρτον εὐχαριστήσαντα εἰπεῖν· Τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν μου, τοῦτό ἐστι τὸ σῶμά μου· καὶ τὸ ποτή-

JUSTINI MARTYRIS APOLOGIA PRIMA.

ριον ὁμοίως λαβόντα καὶ εὐχαριστήσαντα εἰπεῖν· Τοῦτό ἐστι τὸ αἷμά μου· καὶ μόνοις αὐτοῖς μεταδοῦναι. Ὅπερ καὶ ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες· ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυουμένου τελεταῖς μετ' ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε ἢ μαθεῖν δύνασθε.

67. Ἡμεῖς δὲ μετὰ ταῦτα λοιπὸν ἀεὶ τούτων ἀλλήλους ἀναμιμνήσκομεν· καὶ οἱ ἔχοντες τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν, καὶ σύνεσμεν ἀλλήλοις ἀεί. Ἐπὶ πᾶσί τε οἷς προσφερόμεθα εὐλογοῦμεν τὸν ποιητὴν τῶν πάντων διὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ διὰ Πνεύματος τοῦ ἁγίου. Καὶ τῇ τοῦ ἡλίου λεγομένῃ ἡμέρᾳ πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων ἐπὶ τὸ αὐτὸ συνέλευσις γίνεται, καὶ τὰ ἀπομνημονεύματα τῶν ἀποστόλων ἢ τὰ συγγράμματα τῶν προφητῶν ἀναγινώσκεται μέχρις ἐγχωρεῖ. Εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος, ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται. Ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες καὶ εὐχὰς πέμπομεν.

Καί, ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς ἄρτος προσφέρεται καὶ οἶνος καὶ ὕδωρ, καὶ ὁ προεστὼς εὐχὰς ὁμοίως καὶ εὐχαριστίας, ὅση δύναμις αὐτῷ, ἀναπέμπει, καὶ ὁ λαὸς ἐπευφημεῖ λέγων τὸ Ἀμήν· καὶ ἡ διάδοσις καὶ ἡ μετάληψις ἀπὸ τῶν εὐχαριστηθέντων ἑκάστῳ γίνεται καὶ τοῖς οὐ παροῦσι διὰ τῶν διακόνων πέμπεται. Οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι κατὰ προαίρεσιν ἕκαστος τὴν ἑαυτοῦ ὃ βούλεται δίδωσι, καὶ τὸ συλλεγόμενον παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον ἢ δι' ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. Τὴν δὲ τοῦ ἡλίου ἡμέραν κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα, ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ Θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας κόσμον ἐποίησε, καὶ Ἰησοῦς Χριστὸς ὁ ἡμέτερος Σωτὴρ τῇ αὐτῇ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη· τῇ γὰρ πρὸ τῆς κρονικῆς ἐσταύρωσαν αὐτὸν καὶ τῇ μετὰ τὴν κρονικήν, ἥτις ἐστὶν ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς ἐδίδαξε ταῦτα, ἅπερ εἰς ἐπίσκεψιν καὶ ὑμῖν ἀνεδώκαμεν.

EXTRACTS FROM THE FOURTH AND FIFTH LECTURES OF CYRIL OF JERUSALEM ON THE MYSTERIES, ADDRESSED TO THE NEWLY BAPTIZED[1].

IV. Ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Παύλου ἐπιστολῆς.

Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν.

Αὕτη τοῦ μακαρίου Παύλου ἡ διδασκαλία ἱκανὴ καθέστηκε πληροφορῆσαι ὑμᾶς περὶ τῶν θείων μυστηρίων.... Αὐτὸς γὰρ ἀρτίως ἐβόα· ὅτι ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λαβὼν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ ἔδωκε τοῖς αὐτοῦ μαθηταῖς λέγων· Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. Καὶ λαβὼν [τὸ] ποτήριον καὶ εὐχαριστήσας εἶπεν· Λάβετε, πίετε, τοῦτό μου ἐστὶ τὸ αἷμα.

V. 2. Ἑωράκατε τὸν διάκονον τὸν νίψασθαι διδόντα τῷ ἱερεῖ καὶ τοῖς κυκλοῦσι τὸ θυσιαστήριον τοῦ Θεοῦ πρεσβυτέροις...... Σύμβολόν ἐστιν τοῦ δεῖν ὑμᾶς καθαρεύειν πάντων ἁμαρτημάτων καὶ ἀνομημάτων τὸ νίψασθαι....

3. Εἶτα βοᾷ ὁ διάκονος· Ἀλλήλους ἀπολάβετε, καὶ ἀλλήλους ἀσπαζώμεθα.

4. Μετὰ τοῦτο βοᾷ ὁ ἱερεύς· Ἄνω τὰς καρδίας. Εἶτα ἀποκρίνεσθε· Ἔχομεν πρὸς τὸν Κύριον.

5. Εἶτα ὁ ἱερεὺς λέγει· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Εἶτα λέγετε· Ἄξιον καὶ δίκαιον.

6. Μετὰ ταῦτα μνημονεύομεν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, ἡλίου καὶ σελήνης, ἄστρων καὶ πάσης τῆς κτίσεως λογικῆς τε καὶ ἀλόγου, ὁρατῆς τε καὶ ἀοράτου, ἀγγέλων, ἀρχαγγέλων, δυνάμεων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, θρόνων, τῶν Χερουβὶμ τῶν πολυπροσώπων, δυνάμει λέγοντες τὸ τοῦ Δαβίδ, Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί. Μνημονεύομεν καὶ τῶν Σεραφίμ, ἃ ἐν Πνεύματι ἁγίῳ ἐθεάσατο Ἡσαΐας παρεστηκότα κύκλῳ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτοντα τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, καὶ λέγοντα ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ. διὰ τοῦτο γὰρ τὴν παραδοθεῖσαν ἡμῖν ἐκ τῶν Σεραφὶμ θεολογίαν ταύτην λέγομεν, ὅπως κοινωνοὶ τῆς ὑμνῳδίας ταῖς ὑπερκοσμίοις γενώμεθα στρατιαῖς.

7. Εἶτα ἁγιάσαντες ἑαυτοὺς διὰ τῶν πνευματικῶν τούτων ὕμνων, παρακαλοῦμεν τὸν φιλάνθρωπον Θεόν, τὸ ἅγιον Πνεῦμα ἐξαποστεῖλαι ἐπὶ τὰ προκείμενα, ἵνα ποιήσῃ τὸν μὲν ἄρτον σῶμα Χριστοῦ, τὸν δὲ οἶνον αἷμα Χριστοῦ.

8. Εἶτα, μετὰ τὸ ἀπαρτισθῆναι τὴν πνευματικὴν θυσίαν, τὴν ἀναίμακτον λατρείαν, ἐπὶ τῆς θυσίας ἐκείνης τοῦ ἱλασμοῦ παρα-

[1] I have confined these extracts to passages illustrative of the text and "rubric" of the Liturgy of Jerusalem.

CYRIL OF JERUSALEM.

καλοῦμεν τὸν Θεὸν ὑπὲρ κοινῆς τῶν ἐκκλησιῶν εἰρήνης, ὑπὲρ τῆς τοῦ κόσμου εὐσταθείας, ὑπὲρ βασιλέων, ὑπὲρ στρατιωτῶν καὶ συμμάχων, ὑπὲρ τῶν ἐν ἀσθενείαις, ὑπὲρ τῶν καταπονουμένων, καὶ ἁπαξαπλῶς ὑπὲρ πάντων βοηθείας δεομένων, δεόμεθα πάντες ἡμεῖς καὶ ταύτην προσφέρομεν τὴν θυσίαν.

9. *Εἶτα μνημονεύομεν καὶ τῶν προκεκοιμημένων, πρῶτον πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὅπως ὁ Θεὸς ταῖς εὐχαῖς αὐτῶν καὶ πρεσβείαις προσδέξηται ἡμῶν τὴν δέησιν. Εἶτα καὶ ὑπὲρ τῶν προκεκοιμημένων ἁγίων πατέρων καὶ ἐπισκόπων, καὶ πάντων ἁπλῶς τῶν ἐν ἡμῖν προκεκοιμημένων, μεγίστην ὄνησιν πιστεύοντες ἔσεσθαι ταῖς ψυχαῖς, ὑπὲρ ὧν ἡ δέησις ἀναφέρεται τῆς ἁγίας καὶ φρικωδεστάτης προκειμένης θυσίας.*

11. *Εἶτα μετὰ ταῦτα τὴν εὐχὴν λέγομεν ἐκείνην, ἣν ὁ Σωτὴρ παρέδωκε τοῖς οἰκείοις αὐτοῦ μαθηταῖς, μετὰ καθαρᾶς συνειδήσεως Πατέρα ἐπιγραφόμενοι τὸν Θεόν, καὶ λέγοντες, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.*

12. *Ἁγιασθήτω τὸ ὄνομά σου.*

13. *Ἐλθέτω ἡ βασιλεία σου.*

14. *Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.*

15. *Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.*

16. *Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.*

17. *Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.*

18. *Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.*

Εἶτα μετὰ τὴν πλήρωσιν τῆς εὐχῆς λέγεις, Ἀμήν.

19. *Μετὰ ταῦτα λέγει ὁ ἱερεύς·* ΤΑ ἍΓΙΑ ΤΟΙ͂Σ ἉΓΙΟΙΣ...... *Εἶτα ὑμεῖς λέγετε· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός.*

20. *Μετὰ ταῦτα ἀκούετε τοῦ ψάλλοντος μετὰ μέλους θείου προτρεπομένου ὑμᾶς εἰς τὴν κοινωνίαν τῶν ἁγίων μυστηρίων, καὶ λέγοντος·*

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.

21. *Προσιὼν οὖν, μὴ τεταμένοις τοῖς τῶν χειρῶν καρποῖς προσέρχου, μηδὲ διηρημένοις τοῖς δακτύλοις, ἀλλὰ τὴν ἀριστερὰν θρόνον ποιήσας τῇ δεξιᾷ ὡς μελλούσῃ βασιλέα ὑποδέχεσθαι, καὶ κοιλάνας τὴν παλάμην, δέχου τὸ σῶμα τοῦ Χριστοῦ, ἐπιλέγων τὸ Ἀμήν.*

22. *Εἶτα μετὰ τὸ κοινωνῆσαί σε τοῦ σώματος Χριστοῦ προσέρχου καὶ τῷ ποτηρίῳ τοῦ αἵματος, μὴ ἀνατείνων τὰς χεῖρας, ἀλλὰ κύπτων, καὶ τρόπῳ προσκυνήσεως καὶ σεβάσματος λέγων τὸ Ἀμὴν ἁγιάζου καὶ ἐκ τοῦ αἵματος μεταλαμβάνων Χριστοῦ.*

Κατέχετε ταύτας τὰς παραδόσεις ἀσπίλους.

LITURGY OF SAINT JAMES.

LITURGY OF SAINT JAMES.

[The first column contains the Liturgy as it is found in the two surviving fragments of the Messina Roll. I have however added within square brackets portions which were in existence when Monaldinius sent his memoranda to Joseph Aloysius Assemani about the year 1750. The Roll has suffered in the meantime.

The second column contains the Liturgy as given at length in the Rossano Codex: the third and fourth as given in the Paris MSS. 2509 and 476 respectively. The former of these seems to approach closest to the edition published by Morel in the year 1560, from which edition all more recent copies have been either directly or indirectly taken. I have therefore appended to it notes of the variations from it of Morel's copy. The letters S. R. and S. A. mark the prayers which are found, with few variations, in the Syriac copies as translated by Renaudot and by Assemani, and I have also marked with C the portions which were demonstrably in existence in the time of Saint Cyril of Jerusalem. The Notes contain also references to or quotations from the writings of Chrysostom.]

LITURGY OF SAINT JAMES.

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

CODEX ROSSANENSIS.

Ἡ θεία λειτουργία τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου.

Ὁ *διάκονος.* **Τοῦ Κυρίου δεηθῶμεν.** [p. 62]

Ὁ *λαός.* **Κύριε, ἐλέησον.**

Ὁ *ἱερεύς.* **Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τούς.**

Ὁ *διάκονος.* **Στῶμεν καλῶς· ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

LITURGY OF SAINT JAMES.

PARIS MANUSCRIPT 2509.

(1) P. 3 Ἡ θεία λειτουργία τοῦ ἁγίου ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου.

P 3 Ἐν πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶι· ἰδοὺ γὰρ προσῆλθον τῷ θείῳ τούτῳ καὶ ἐπουρανίῳ μυστηρίῳ σου, οὐχ ὡς ἄξιος ὑπάρχων· ἀλλ' εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ἀφίημί σοι τὴν φωνήν, Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀντοφθαλμῆσαι τῇ ἱερᾷ σου ταύτῃ καὶ πνευματικῇ τραπέζῃ, ἐφ' ᾗ ὁ μονογενής σου Υἱός, καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ πάσῃ κηλῖδι κατεστιγμένῳ, μυστικῶς πρόκειται εἰς θυσίαν. Διὸ ταύτην σοι τὴν ἱκεσίαν καὶ εὐχαριστίαν προσάγω, τοῦ καταπεμφθῆναί μοι

PARIS MANUSCRIPT 476.

Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου.

Εὐχὴ τῆς προθέσεως.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ μόνῃ ἁπλῇ καὶ ἀδιαιρέτῳ τριάδι, τῇ ἑνούσῃ καὶ ἁγιαζούσῃ ἡμᾶς δι' ἑαυτῆς, καὶ εἰρηνευούσῃ τὴν ζωὴν ἡμῶν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐξιλεούμενος ὑπὲρ ἑαυτοῦ τὸ Θεῖον,

Ἐν πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς, Δέσποτα Κύριε ὁ Θεός μου· ἰδοὺ γὰρ προσέρχομαι τῷ θείῳ τούτῳ καὶ ἐπουρανίῳ θυσιαστηρίῳ, οὐχ ὡς ἄξιος ὑπάρχων· ἀλλ' εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ταύτην ἀφίημί σοι τὴν φωνήν, Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἥμαρτον γὰρ εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀντοφθαλμῆσαι τῇ ἱερᾷ ταύτῃ καὶ πνευματικῇ τραπέζῃ, ἐφ' ᾗ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ πάσῃ κηλῖδι κατεστιγμένῳ, μυστικῶς πρόκειται εἰς θυσίαν. Δι' οὗ ταύτην σοι τὴν ἱκετηρίαν προσάγω, τοῦ καταπεμφθῆναί μοι τὸ Πνεῦμά σου τὸ

(1) P. 3 denotes that the passage is to be found in the Paris edition of Morel, p. 3.

ROTULUS MESSANENSIS.
[*Mutilus.*]

CODEX ROSSANENSIS.

Ὁ ἱερεὺς λέγει εὐχήν.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς μιᾶς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑπαρχούσης καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς Θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται, ἡ δὲ γῆ τὴν αὐτοῦ δεσποτείαν, καὶ ἡ θάλασσα τὸ αὐτοῦ κράτος, καὶ πᾶσα αἰσθητή τε καὶ νοητὴ κτίσις τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμή, κράτος, μεγαλωσύνη καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Εὐχὴ τοῦ θυμιάματος τῆς εἰσόδου. [C. b.]

Δέσποτα Ἰησοῦ Χριστέ, ὦ Θεοῦ Λόγε, ὁ ἑκουσίως ἑαυτὸν θυσίαν ἄμωμον ἐπὶ σταυροῦ τῷ Θεῷ καὶ Πατρὶ προσαγαγών, ὁ διφυὴς ἄνθραξ, ὁ τῇ λαβίδι τῶν τοῦ προφήτου χειλέων ἁψάμενος καὶ τὰς ἁμαρτίας αὐτοῦ ἀφελόμενος, ἅψαι τῶν νοερῶν ἡμῶν αἰσθήσεων, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης ἁμαρτημάτων κηλῖδος, καὶ παράστησον ἡμᾶς ἁγνοὺς τῷ ἁγίῳ σου θυσιαστηρίῳ, τοῦ προσενέγκαι σοι θυσίαν αἰνέσεως·

PARIS MANUSCRIPT 2509.

τὸ Πνεῦμά σου τὸ Παράκλητον, ἐνισχῦον καὶ καταρτίζον με πρὸς τὴν λειτουργίαν ταύτην· καὶ τὴν παρὰ σοῦ μοι τῷ λαῷ ἐπαγγελθεῖσαν φωνὴν ἀκατακρίτως ταύτην ἀποφθέγξασθαι καταξίωσον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, ἀγαθῷ, ζωοποιῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, νῦν καὶ ἀεί.

P. 4 Εὐχὴ τῆς παραστάσεως.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑπαρχούσης καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς Θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται, ἡ δὲ γῆ τὴν αὐτοῦ δεσποτείαν, καὶ ἡ θάλασσα τὸ αὐτοῦ κράτος, καὶ πᾶσα αἰσθητὴ καὶ νοητὴ κτίσις τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμή, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ θυμιάματος τῆς εἰσόδου τῆς ἐνάρξεως.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὦ Θεοῦ Λόγε, ὁ ἑκουσίως ἑαυτὸν θυσίαν ἄμωμον ἐπὶ σταυροῦ τῷ Θεῷ καὶ Πατρὶ προσαγαγών, ὁ διφυὴς ἄνθραξ, ὁ τῇ λαβίδι τῶν τοῦ προφήτου χειλέων ἀψάμενος καὶ τὰς
(1) ἁμαρτίας αὐτοῦ ἀφελόμενος, ἅψαι τῶν νοερῶν ἡμῶν αἰσθήσεων, καὶ καθάρισον ἡμᾶς
(2) ἀπὸ πάσης ἁμαρτημάτων κηλῖδος, καὶ παράστησον ἡμᾶς ἁγνοὺς τῷ ἁγίῳ σου θυσιαστηρίῳ τοῦ προσενέγκαι σοι θυσίαν

PARIS MANUSCRIPT 476.

Παράκλητον ἐνισχῦον, καταρτίζον με, πρὸς τὴν λειτουργίαν ταύτην· καὶ τὴν παρὰ σοῦ μοι ἐπαγγελθεῖσαν φωνὴν ταύτην ἀκατακρίτως τῷ λαῷ ἐπιφθέγξασθαι καταξίωσον,

Ἐκφώνησις. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τάξις καὶ ἀκολουθία κατὰ τὴν ἁγίαν ἱερομύστου τελετῆς Σιών. Τοῦ κλήρου μέλλοντος τὴν προέλευσιν ποιῆσαι, ὁ διάκονος ἐκφωνεῖ, Κύριε, εὐλόγησον· ὁ δὲ ἱερεὺς λέγει, *sic*

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς μιᾶς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑπαρχούσης καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς Θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται, ἡ δὲ γῆ τὴν αὐτοῦ δεσποτείαν, καὶ ἡ θάλασσα τὸ αὐτοῦ κράτος, καὶ πᾶσα αἰσθητή τε καὶ νοητὴ κτίσις τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) P. ἅψαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τῶν αἰσθήσεων.

(2) P. omits ἁμαρτημάτων.

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

[Chrysostom's second homily on the second Epistle to the Corinthians contains an exposition of a part of the service which was open to the public. This exposition was suggested by the words of S. Paul "Ye too helping together in prayer for us." "The laws of the Church ordain (he says) that prayers shall be so offered, not those for the faithful only, but also those for the catechumens." And he proceeds to specify them with explanations.

Ὅταν γὰρ ὁ διάκονος λέγῃ, Ὑπὲρ τῶν κατηχουμένων ἐκτενῶς δεηθῶμεν, οὐδὲν ἄλλο ἢ τὸν δῆμον ἅπαντα τῶν πιστῶν διανίστησιν εἰς τὰς ὑπὲρ ἐκείνων εὐχάς... These are not admitted to the mysteries: *διὰ τοῦτο καὶ ἀπελαύνονται, τῶν φρικτῶν εὐχῶν ἐκείνων γινομένων...*

Ὅταν εἴπῃ, Στῶμεν καλῶς, δεηθῶμεν, πάντας εἰς τὴν εὐχὴν παρακαλεῖ.

Εἶτα *ἀρχόμενος τῆς εὐχῆς φησιν·* Ἵνα *ὁ πανελεήμων καὶ οἰκτίρμων Θεὸς αὐτὸς ἐπακούσῃ τῶν δεήσεων αὐτῶν...ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν...ὥστε ἀκοῦσαι ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη... καὶ κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας...ἵνα κατασπείρῃ τὸν φόβον αὐτοῦ ἐν αὐτοῖς...καὶ βεβαιώσῃ τὴν πίστιν αὐτοῦ ἐν ταῖς διανοίαις αὐτῶν... ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης...ἵνα δῷ αὐτοῖς νοῦν ἔνθεον, σώφρονα λογισμόν, καὶ ἐνάρετον πολιτείαν...διαπαντὸς τὰ αὐτοῦ νοεῖν, τὰ αὐτοῦ φρονεῖν, τὰ αὐτοῦ μελετᾶν...ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτός...τῶν ἐντολῶν αὐτοῦ μνημονεύειν, τὰ δικαιώματα αὐτοῦ φυλάσσειν...*

Ἔτι *ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν... ἵνα ἐξέληται αὐτοὺς ἀπὸ παντὸς πονηροῦ καὶ ἀτόπου πράγματος...ἀπὸ παντὸς ἁμαρτήματος διαβολικοῦ καὶ πάσης περιστάσεως τοῦ ἀντικειμένου* (and he refers the initiated to the words of their own baptismal profession), *ἵνα καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν...τοῦ ἐνδύματος τῆς ἀφθαρσίας...ἵνα εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν*

CODEX ROSSANENSIS.

καὶ πρόσδεξαι παρ' ἡμῶν τῶν ἀχρείων δούλων σου τὸ παρὸν θυμίαμα εἰς ὀσμὴν εὐωδίας· καὶ εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἁγίασον ἡμᾶς τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· σὺ γὰρ εἶ μόνος ἅγιος, ὁ
ἁγιάζων καὶ ἁγιαζόμενος, προσφέρων τε καὶ [63]
προσφερόμενος, καὶ τοῖς πιστοῖς μεταδιδόμενος· καὶ πρέπει σοὶ ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου.

Εἶτα ἄρχεται τῶν εὐχῶν.

Εὐεργέτα καὶ βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, πρόσδεξαι προσιοῦσάν σοι διὰ τοῦ Χριστοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη σοι.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς λέγει εὐχὴν τοῦ θυμιάματος τῆς εἰσόδου τῆς συνάξεως.

Ὁ Θεός, ὁ προσδεξάμενος Ἄβελ τὰ δῶρα, [63 b]
Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ

PARIS MANUSCRIPT 2509.

(1) *αἰνέσεως· καὶ πρόσδεξαι παρ' ἡμῶν τῶν ἀχρείων δούλων σου τὸ παρὸν θυμίαμα εἰς ὀσμὴν εὐωδίας· καὶ εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἁγίασον ἡμᾶς τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· σὺ γὰρ εἶ μόνος*
(2) *ἅγιος, ὁ ἁγιάζων καὶ ἁγιαζόμενος καὶ τοῖς πιστοῖς μεταδιδόμενος· καὶ πρέπει σοὶ ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Εὐχὴ τῆς ἐνάρξεως.

Εὐεργέτα, βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, πρόσδεξαι προσ-
5 ιοῦσάν σοι διὰ τοῦ Χριστοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ
(3) σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁ διάκονος. Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐχὴν τοῦ θυμιάματος τῆς εἰσόδου
(4) τῆς συνάξεως.

Ὁ Θεός, ὁ προσδεξάμενος Ἀβὲλ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ

(1) P. ἀφ' ἡμῶν.

(2) P. omits καὶ ἁγιαζόμενος.

(3) P. omits καθολικῇ καὶ ἀποστολικῇ.

PARIS MANUSCRIPT 476.

Εἶτα ὁ διάκονος· Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ ἱερεὺς ἄρχεται τῶν εὐχῶν.

Εὐεργέτα καὶ βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, πρόσδεξαι προσιοῦσάν σοι διὰ τοῦ Χριστοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Οἱ διάκονοι. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος λέγει, Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ θυμιάματος τῆς εἰσόδου τῆς συνάξεως.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος Ἀβὲλ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα,

(4) Ἐτέθησαν τὰ μέρη ταῦτα ἀπὸ ἑτέρας εὐχῆς (Note in the MS. See Liturgy of S. Mark p. 16.)

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

καὶ τὰς ἐξόδους πάντα τὸν βίον αὐτῶν...τοὺς οἴκους αὐτῶν καὶ τὰς οἰκετίας...τὰ τέκνα αὐτῶν ἵνα αὐξήσας εὐλογήσῃ καὶ εἰς μέτρον ἡλικίας ἀγαγὼν σοφίσῃ...ἵνα κατευθύνῃ αὐτοῖς πάντα τὰ προκείμενα πρὸς τὸ συμφέρον.

᾿Απὸ τούτων παιδεύονται ἐν πᾶσιν εὐχαριστεῖν τῷ Θεῷ...καὶ μετὰ ταῦτα πάντα ἐγείρεσθαι κελεύει. πρότερον γὰρ αὐτοὺς χαμαὶ ῥίψας...[νῦν] ἀνίστησιν αὐτοὺς ὁ λόγος, καὶ κελεύει λοιπὸν καὶ αὐτοὺς ἔχεσθαι τῆς πρὸς τὸν Θεὸν ἱκετηρίας.

Then we urge the catechumens to pray for themselves.

Τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε οἱ κατηχούμενοι...

εἰρηνικὰ ὑμῖν πάντα τὰ προκείμενα...

εἰρηνικὴν τὴν παροῦσαν ἡμέραν καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν αἰτήσασθε.

χριστιανὰ ὑμῶν τὰ τέλη...

τὸ καλὸν καὶ τὸ συμφέρον...

ἑαυτοὺς τῷ ζῶντι Θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ παραθέσθαι·

εἶτα κλῖναι τὰς κεφαλὰς κελεύομεν, τεκμήριον τοῦ τὰς εὐχὰς ἀκουσθῆναι ποιούμενοι τὸ τὸν Θεὸν εὐλογεῖν...Καὶ ἐπιβοῶσιν ἅπαντες τὸ ᾿Αμήν.

Then he refers to prayers which are uttered *ἐν τῷ καιρῷ τῶν πιστῶν*. It will be observed that all this had become obsolete when the Liturgy of Jerusalem had assumed the form in which it is found in the MSS. and so had become the prayers for the *ἐνεργούμενοι* of which we find notice in the seventh (eighth) homily on the Ep. to the Romans (p. 490), and for the penitents of which (with the energumens) we read in the eighteenth homily on 2 Cor. p. 568. I shall have to refer to this last passage again.]

CODEX ROSSANENSIS.

χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σοῦ, καὶ ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων συλλειτουργεῖν ἡμῖν καὶ συνδιακονεῖν τῇ σῇ ἀγαθότητι· ὅτι εὐλογημένος ὑπάρχεις, καὶ πρέπει σοὶ ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

῾Ο διάκονος λέγει, Κύριε, εὐλόγησον.

῾Ο ἱερεὺς λέγει,

῾Ο Κύριος καὶ Θεὸς ἡμῶν ᾿Ιησοῦς ὁ Χριστός, ὁ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ἀκατάσχετον ἔρωτα ἤδη καθεὶς καὶ λόγχῃ *sic*
καὶ ἥλοις παρεῖναι μὴ ἀπανηνάμενος· ὁ τὴν κρυφίαν καὶ ἐπίφοβον ταύτην τελετὴν εἰς ἀνάμνησιν αἰωνίαν ἡμῖν ἐκτελεῖν παρασχό- [64]
μενος· εὐλογήσει τὴν ἀρχιδιακονίαν σου, (a)
καὶ εὐλογήσει τὴν εἴσοδον ἡμῶν, καὶ ἐντελῶς τελειώσειεν τὴν παράστασιν τῆς λειτουργίας ἡμῶν ταύτης, τῇ ἀφάτῳ αὐτοῦ εὐσπλαγχνίᾳ, νῦν καὶ ἀεί, εἰς τούς.

Εὐχὴ ἄλλη τοῦ διακόνου.

῾Ο Κύριος εὐλογήσειεν καὶ ἀξιώσειεν ὑμᾶς σεραφικῶς δωροφορῆσαι, καὶ προσᾆσαι τὴν πολυύμνητον ἐπῳδὴν τοῦ ἐνθεαστικοῦ τρισαγίου, τῷ ἀνενδεεῖ καὶ ὑπερπλήρει πάσης ἁγιαστικῆς τελειότητος, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

῎Αρχεται ὁ ἀρχιδιάκονος λέγειν εἰς τὴν εἴσοδον.

῾Ο μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος.

῾Ο ἱερεὺς λέγει ταύτην τὴν εὐχὴν κατὰ τὴν

(a) The MS. has *εὐλογήσει* here and below.

PARIS MANUSCRIPT 2509.

χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σοῦ, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ πρέπει σοὶ ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ διάκονος. Κύριε, εὐλόγησον.

Ὁ ἱερεὺς ἐπεύχεται αὐτῷ.

Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός, ὁ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ἀκατάσχετον ἔρωτα σταυρωθείς, καὶ λόγχῃ καὶ ἥλοις παρεῖναι μὴ ἀπανηνάμενος· ὁ τὴν κρυφίαν καὶ ἐπίφοβον ταύτην τελετὴν εἰς ἀνάμνησιν αἰωνίαν ἡμῖν ἐκτενῆ παρασχό-
(1) μενος· εὐλογῆσαι τὴν ἐν Χριστῷ ἀρχιδιακονίαν σου, καὶ εὐλογῆσαι τὴν εἴσοδον ἡμῶν, καὶ ἐντελῶς τελειώσειεν τὴν παράστασιν τῆς
P. 6 λειτουργίας ἡμῶν ταύτης, τῇ ἀφάτῳ αὐτοῦ εὐσπλαγχνίᾳ, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Εὐχὴ ἀποκριτικὴ παρὰ τοῦ διακόνου.

Ὁ Κύριος εὐλογῆσαι καὶ ἀξιῶσαι ἡμᾶς σεραφικῶς δωροφορῆσαι, καὶ προσᾷσαι τὴν πολυύμνητον ᾠδὴν τοῦ ἐνθεαστικοῦ καὶ τρισαγίου, τῷ ἀνενδεεῖ καὶ ὑπερπλήρει πάσης τῆς ἁγιαστικῆς τελειότητος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

(2) Εἶτα ἄρχεται ὁ ἀρχιδιάκονος ἐν τῇ εἰσόδῳ.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην ἀπὸ τῶν πυλῶν ἕως τοῦ θυσιαστηρίου.

PARIS MANUSCRIPT 476.

πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο ✠ εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σοῦ, καὶ ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων συλλειτουργεῖν ἡμῖν καὶ συνδιακονεῖν τῇ σῇ ἀγαθότητι·

Ἐκφώνησις. Ὅτι εὐλογημένος ὑπάρχεις, καὶ πρέπει σοὶ ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Ὀρθοί. Ὁ μονογενής.

Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς κατὰ τὴν προέλευσιν τοῦ κλήρου ἀπὸ τῶν θυρῶν τῆς ἐκκλησίας ἕως τοῦ θυσιαστηρίου. Ἡ εἴσοδος.

(1) P. τὴν ἐν Χριστῷ τῷ Θεῷ διακονίαν.

(2) P. ἄρχεται ᾄδειν ὁ διάκονος and gives the hymn in full. [See p. 12 above.]

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

CODEX ROSSANENSIS.

προέλευσιν ἀπὸ τῶν θυρῶν τῆς ἐκκλησίας ἕως τοῦ θυσιαστηρίου.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς [64 b]
[σου] Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοί ἐσμεν καὶ ἔντρομοι, μέλλοντες παρίστασθαι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ' ἡμᾶς, ὁ Θεός, τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν· ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων πλημμελημάτων, καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ.

Ὁ *ἱερεύς.* Εἰρήνη πᾶσιν. (a)

Ὁ *λαός.* Καὶ τῷ πνεύματί σου.

Ὁ *διάκονος.* Κύριε, εὐλόγησον.

Ὁ *ἱερεὺς ἐπεύχεται.*

Ὁ Κύριος εὐλογήσει πάντας ἡμᾶς καὶ [65]
ἁγιάσει ἐπὶ τῇ εἰσόδῳ καὶ ἱερουργίᾳ τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύσει μετὰ ἁγίων καὶ δικαίων, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Καὶ λέγει ὁ ἀρχιδιάκονος συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ *λαός.* Κύριε, ἐλέησον.

(*a*) [S. Chrysostom often refers to this salutation. For example in Hom. XXXII (XXXIII) on S. Matt. p. 374 *Διὸ ἐνταῦθα δέξασθε μετὰ ἀγάπης εἰσιόντας ἡμᾶς πρὸς ὑμᾶς· καὶ ὅταν εἴπω, Εἰρήνη ὑμῖν, εἶτα εἴπητε,* Καὶ *τῷ πνεύματί σου· μὴ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τῇ γνώμῃ λέγετε, μὴ τῷ στόματι ἀλλὰ καὶ τῇ διανοίᾳ.*]

PARIS MANUSCRIPT 2509.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοι ἐσμέν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ' ἡμᾶς, ὁ Θεός, τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν· ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων πλημμελημάτων, καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς
P. 7 καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸ εἰσελθεῖν εἰς τὸ θυσιαστήριον λέγει ὁ ἱερεύς,

Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς.

Ὁ Κύριος εὐλογῆσαι πάντας ἡμᾶς καὶ ἁγιάσαι ἐπὶ τῇ εἰσόδῳ καὶ ἱερουργίᾳ τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαιων, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

(1) *Εἶτα λέγει ὁ ἀρχιδιάκονος συναπτήν.*

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

PARIS MANUSCRIPT 476.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοί ἐσμεν καὶ ἔντρομοι, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ' ἡμᾶς τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν· ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων ἁμαρτημάτων, εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος τὰ διακονικά.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

(1) "In calce fol. 195 (v°) scriptum reperio hanc rubricam quae, asterisco notata, ad Ἐν *εἰρήνῃ etc.* pertinere videtur:

† *Ἐτέθησαν αἱ αἰτήσεις αὗται παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἐν τῇ ἐνάρξει τῆς λειτουργίας· ζήτει κεφαλαίῳ β'.*" [M. Omont. See p. 152.] P. has *διάκονος.*

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

[...ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων ἐνδόξων ἀσωμάτων ἀρχαγγέλων, τοῦ ἁγίου Ἰωάννου, τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν θείων ἱερῶν ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ καλλινίκων μαρτύρων, καὶ τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, καὶ τοῦ ἁγίου καὶ μακαρίου πατρὸς ἡμῶν Ἰακώβου, τοῦ ἀποστόλου καὶ ἀδελφοθέου, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν· ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν πάντες ἐλεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ τρισαγίου,

(1) Ὁ οἰκτίρμων καὶ ἐλεήμων..............

CODEX ROSSANENSIS.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τῶν ὁσιωτάτων πατέρων ἡμῶν τοῦ Δ′ καὶ τοῦ Δ′, τοῦ ἁγιωτάτου πατριάρχου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου [δεηθῶμεν].

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ [65 b

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου Ἰωάννου, τοῦ ἐνδόξου προφήτου, προδρόμου, καὶ βαπτιστοῦ, τῶν θείων καὶ πανευφήμων ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν· ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Ὁ λαός. Κύριε, ἐλέησον. γ′.

Καὶ κλίνει ὁ ἱερεὺς λέγων εὐχὴν τοῦ τρισαγίου.

Οἴκτιρμον καὶ ἐλέημον, μακρόθυμε καὶ πολυέλεε καὶ ἀληθινὲ Κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀν-

(1) Assemani printed the first four words, stating that the rest of the prayer agreed with the ordinary text. I give all that survives in the fragment as it exists now.

PARIS MANUSCRIPT 2509.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου [δεηθῶμεν].

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τῶν ὁσιωτάτων πατέρων ἡμῶν, Ἰωάννου τοῦ ἁγιωτάτου πατριάρχου καὶ θεοδούλου, τοῦ καθολικοῦ ἀρχιεπισκόπου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου, καὶ βαπτιστοῦ· τῶν θείων καὶ πανευφήμων ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν· ὅπως εὐχαῖς αὐτῶν καὶ πρεσβείαις οἱ πάντες ἐλεηθῶμεν.

Εἶτα οἱ ψάλται τὸν τρισάγιον.

Καὶ ὁ ἱερεὺς εὔχεται ἐπικλινόμενος.

Οἰκτίρμον καὶ ἐλέημον, μακρόθυμε καὶ πολυέλεε καὶ ἀληθινὲ Κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀνθρω-

PARIS MANUSCRIPT 476.

Ὑπὲρ τῆς εἰρήνης.

Ὑπὲρ σωτηρίας.

Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν.

Τῆς παναγίας, ἀχράντου.

Πάντες οἱ παρόντες,

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ τρισαγίου.

Οἰκτίρμον καὶ ἐλέημον, μακρόθυμε καὶ πολυέλεε καὶ ἀληθινὲ Κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν, (a) καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀν-

(1) Omitted in P.
(2) Omitted in P.

(3) P. gives the Ἅγιος ὁ Θεός at length.
(a) The MS. has οἰκετῶν.

ROTULUS MESSANENSIS.

.....................τῶν ἐναντιωμάτων,.......
.................ἡμῶν ἐκ τῶν δυσχερῶν τοῦ
....................ὰ τὴν χρηστότητά σου,
ὅπως.......ἐν καθαρᾷ συνειδήσει κατεν.....
τοῦ ἁγίου σου θυσιαστηρίου, τὸν μακάριον
...........ὕμνον σὺν ταῖς ἐπουρανίαις δυν...
..........τως ἀναπέμψωμέν σοι· καὶ τὴν...
...καὶ εὐάρεστον ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

Ἐκφώνησις. Ὅτι ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐπαναπαύει, καὶ σοὶ τὴν δόξαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν.

(1) Οἱ *ψάλται τὸ* Ἅγιος ὁ Θεός.

Καὶ μετὰ ταῦτα ὁ ἱερεὺς σφραγίζει λέγων, Εἰρήνη πᾶσιν.

(2) *Ὁ ψάλτης τὸ προκείμενον. Ὁ ἀπόστολος.* Τὸ *Ἀλληλούϊα.*

CODEX ROSSANENSIS.

θρωπίνου, καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν, μηδὲ βαρυτέρας τῆς [66]
ἡμετέρας δυνάμεως παιδείας ἐπαγάγῃς ἡμῖν· ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ, Κύριε, εἰς τὸ σώζειν ἐκ πάντων τῶν ἐναντιωμάτων· σῶσον ἡμᾶς, ὁ Θεός, ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου κατὰ τὴν χρηστότητά σου, ὅπως εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει πρὸς τὸ ἅγιόν σου θυσιαστήριον, τὸν μακάριον καὶ τρισάγιον ὕμνον σὺν ταῖς ἐπουρανίαις δυνάμεσιν ἀκατακρίτως ἀναπέμψωμέν σοι· καὶ τὴν εὐάρεστόν σοι καὶ θείαν ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

Ἐκφώνως.

Ὅτι ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ἄρχεται ὁ ἀναγνώστης,

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. λέγει γ'.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· [66 b
καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ἁγία Τριάς, ἐλέησον ἡμᾶς.

Καὶ λέγει ὁ ἱερεύς,

Εἰρήνη πᾶσιν.

Ὁ λαος. Καὶ τῷ πνεύματί σου.

Λέγουσιν οἱ ἀναγινώσκοντες πρόψαλμα, καὶ ἀπόστολον, καὶ στιχολογίαν.

(1) We meet with the *Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος* in the discussions at Chalcedon.

(2) In the time of Chrysostom the first lesson was from the Old Testament. The reader prefaced the lesson with the words *Τάδε λέγει Κύριος.* See Hom. in Act. Apos. XIX. p. 159.

ROTULUS MESSANENSIS.

Εὐχὴ εἰς τὸ θυμίαμα τοῦ Ἀλληλούϊα.

Σοὶ τῷ πεπληρωμένῳ πάσης εὐωδίας καὶ εὐφροσύνης, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὧν δέδωκας ἡμῖν προσφέρομέν σοι τὸ θυμίαμα τοῦτο· ἀναληφθήτω δή, δεόμεθα, ἐνώπιόν
(1) σου ἐκ πενιχρῶν ἡμῶν χειρῶν εἰς ὀσμὴν εὐωδίας, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ εἰς ἱλασμὸν τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ.

Μετὰ δὲ τὸ Ἀλληλούϊα ὁ ἱερεύς. Εὐχὴ πρὸ τοῦ
(2) *εὐαγγελίου.*

Σοὶ εὐχαριστοῦμεν, Κύριε, τῷ ἐξανατείλαντι ἡμῖν φῶς ἐκ σκότους, καὶ ἀποκαλύψαντι τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν εἰς κατανόησιν τῶν θαυμασίων σου, καὶ ἀνοίξαντι τὸ στόμα ἡμῶν εἰς ἐξομολόγησιν τῶν ἡμετέρων ἁμαρτιῶν μελέτην δὲ τῶν σῶν ἐντολῶν. αὐτὸς καὶ νῦν, Δέσποτα, πρόσδεξαι τὴν προσευχὴν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλαχίστων δούλων σου, καὶ μὴ ὑπερίδῃς τὴν δέησιν ἡμῶν, ἀλλὰ κατὰ τὴν σὴν μεγαλοπρέπειαν φύλαξον ἡμᾶς καὶ τοὺς συνελθόντας καὶ συνευχομένους ἡμῖν, καὶ ἐναύγασον ἐν ταῖς καρδίαις ἡμῶν τε καὶ αὐτῶν τὸν φωτισμὸν τῶν θείων λογίων καὶ εὐαγγελίου τοῦ Χριστοῦ σου.

Μετὰ δὲ τὸ Ἀλληλούϊα ἱστάμενος ὁ ἱερεύς· ὁ διάκονος λέγει τὴν ἐκτενήν.

Εἴπωμεν πάντες, Κύριε, ἐλέησον.

Κύριε παντοκράτωρ, ἐπουράνιε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθα, ἐπάκουσον.

(1) + *εἰς τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον* (in the margin).

(2) In the margin *Μετὰ τὴν εὐχήν, Ἔλλαμψον·*

CODEX ROSSANENSIS.

Ὁ ἱερεὺς λέγει εὐχὴν θυμιάματος πρὸ τοῦ [67]
εὐαγγελίου. (a)

Σοὶ τῷ πεπληρωμένῳ πάσης εὐωδίας καὶ εὐφροσύνης, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὧν δέδωκας ἡμῖν προσφέρομεν τὸ θυμίαμα τοῦτο· ἀναληφθήτω δή, δεόμεθά σου, ἐκ τῶν πενιχρῶν ἡμῶν χειρῶν εἰς τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας [67 b]
καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ.

Καὶ ὁ διάκονος. [66 b]

Εἴπωμεν πάντες, Κύριε, ἐλέησον.

Κύριε παντοκράτωρ, ἐπουράνιε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον.

ἀπὸ τοῦ χ(?) εὗρον. Matrangas suggests *ἀπὸ τοῦ χειρογράφου.*

(a) In the MS. this is found later.

PARIS MANUSCRIPT 2509.

(1) P. 9 'Ο διάκονος. Εἴπωμεν πάντες, Κύριε, ἐλέησον.

Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον.

(1) "In margine superiori folii 196 (v°) nostri codicis hæc legitur rubrica quam cum proximis verbis *Εἴπωμεν etc.* conjungendam censeo; ita est:

PARIS MANUSCRIPT 476.

'Ο ἱερεὺς τὴν εὐχὴν τοῦ θυμιάματος πρὸ τοῦ εὐαγγελίου.

Σοὶ τῷ πεπληρωμένῳ πάσης εὐωδίας καὶ εὐφροσύνης, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὧν δέδωκας ἡμῖν, προσφέρομεν τὸ θυμίαμα τοῦτο ἐνώπιόν σου. ✠ 'Αναληφθήτω δή, δεόμεθά σου, ἐκ τῶν πενιχρῶν ἡμῶν χειρῶν, εἰς τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

'Ο διάκονος πρὸ τοῦ εὐαγγελίου,

Εἴπωμεν πάντες.

Κύριε παντοκράτωρ.

''Ετέθη ἡ ἐκφώνησις αὐτὴ παρὰ τῷ ἁγίῳ Βασιλείῳ εἰς τὸ τέλος τῆς εὐχῆς τοῦ τρισαγίου. Ζήτει κεφαλαίῳ Γ.'" M. Omont. (See p. 155.)

ROTULUS MESSANENSIS.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου καὶ ἑνώσεως πασῶν τῶν ἁγίων ἐκκλησιῶν, δεόμεθα, ἐπάκουσον.

Ὑπὲρ τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦ Δ'., παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, δεόμεθα.

Ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου, καὶ νίκης αὐτῶν, δεόμεθα.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ βασιλευούσης πάσης πόλεως καὶ χώρας, δεόμεθα.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης, αἰχμαλωσίας καὶ πικροῦ θανάτου, δεόμεθα.

Καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ, Κύριε, μέγα καὶ πλούσιον ἔλεος, ἱκετεύομέν σε, σπλαγχνίσθητι καὶ ἐλέησον.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν. Ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Ὕψωσον κέρας χριστιανῶν καὶ κατάπεμψον ἐφ'
(1) ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια, πρεσβείαις τῆς παναγίου, εὐλογημένης, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου· ἱκετεύομέν σε, πολυέλεε
(2) Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων, καὶ ἐλέησον.

Ὁ λαὸς τὸ Κύριε, ἐλέησον. γ'.

CODEX ROSSANENSIS.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου καὶ ἑνώσεως πασῶν τῶν ἁγίων σου ἐκκλησιῶν, δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγιωτάτου ἡμῶν τοῦ Δ'. πατριάρχου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, αἰχμαλωσίας, πικροῦ θανάτου, καὶ τῶν ἀνομιῶν ἡμῶν, δεηθῶμεν.

Καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον καὶ μέγα ἔλεος, ἱκετεύομέν σε, σπλαγχνίσθητι [67]
καὶ ἐλέησον.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Ὕψωσον κέρας χριστιανῶν τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ πρεσβείᾳ τῆς πανάγνου, εὐλογημένης, δεσποίνης ἡμῶν *sic*
θεοτόκου, τοῦ προδρόμου, καὶ τῶν ἀποστόλων σου, καὶ πάντων τῶν ἁγίων σου· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου καὶ ἐλέησον.

Ὁ λαός. Κύριε ἐλέησον. γ'.

(1) + *τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σου σταυροῦ, τῇ χάριτι τῆς τριημέρου καὶ φωτοφόρου ἐκ νεκρῶν ἀναστάσεως* added in the margin.

(2) + *δεομένων σου* interlined.

PARIS MANUSCRIPT 2509.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

(1) Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγιωτάτου ἡμῶν Ἰωάννου πατριάρχου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, δεόμεθά σου, ἐπάκουσον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, αἰχμαλωσίας, πικροῦ θανάτου, καὶ τῶν ἀνομιῶν ἡμῶν, δεόμεθά σου, ἐπάκουσον.

Ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον καὶ μέγα ἔλεος, ἱκετεύομέν σε, σπλαγχνίσθητι καὶ ἐλέησον.

(2) Ἀντὶ τοῦ Ἐλέησον ἡμᾶς, ὁ Θεός, τοῦτο.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Ὕψωσον κέρας Χριστιανῶν τῇ δυνάμει
(3) τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ πρεσβείᾳ τῆς παναγίου, εὐλογημένης, δεσποίνης ἡμῶν θεοτόκου, τοῦ προδρόμου, καὶ τῶν ἀποστόλων σου, καὶ πάντων τῶν ἁγίων σου· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἐλέησον.

Ὁ λαός. Κύριε, ἐλέησον· ἐκ τρίτου.

PARIS MANUSCRIPT 476.

Ὑπὲρ τῆς εἰρήνης.

Ὑπὲρ σωτηρίας.

Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ.

Ὑπὲρ τοῦ ῥυσθῆναι.

Ὑπὲρ τοῦ περιεστῶτος.

Σῶσον, ὁ Θεός.

(1) This clause helps to fix a date to the Liturgy as copied in the MS. See Introduction, p. xxv. The Paris edition (P.) has simply ἀντιλήψεως παντὸς τοῦ φιλοχρίστου λαοῦ.

(2) P. omits this.

(3) P. omits from τῇ πρεσβείᾳ to τῶν ἁγίων σου.

ROTULUS MESSANENSIS.

Εὐχή. Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Κύριε, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς πρὸς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. ἔνθες
(1) ἡμῖν καὶ μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησιν σὴν καὶ φρονοῦντες καὶ
(2) πράττοντες.

Ἐκφώνως. Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς.

Ὁ ἀρχιδιάκονος. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Ἐκ τοῦ κατὰ Ματθ.

Ὁ ἀρχιδιάκονος. Πρόσχωμεν.

Καὶ ὅτε πληρωθῇ τὸ εὐαγγέλιον λέγει ὁ διάκονος,

Σχολάσωμεν ἐκτενῶς. Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων ἐκκλησιῶν.

CODEX ROSSANENSIS.

Εὐχὴ πρὸ τοῦ θείου εὐαγγελίου. [67 b]

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Κύριε, τὸ τῆς σῆς γνώσεως ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων σου κατανόησιν. ἔνθες ἡμῖν καὶ τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησιν σὴν καὶ φρονοῦντες καὶ πράττοντες.

Ἐκφώνως. Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ Θεός, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ εἰς.

Λέγει ὁ ἀρχιδιάκονος. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ ἀρχιδιάκονος. Πρόσχωμεν τῇ ἁγίᾳ ἀναγνώσει.

Καὶ μετὰ τὸ εὐαγγέλιον λέγει ὁ ἱερεύς, Εἰρήνη σοι.

Ὁ λαός. Δόξα σοι, Κύριε.

Ὁ διάκονος. Σχολάσωμεν ἐκτενῶς.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ Θεοῦ φιλανθρωπίας, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

(1) τὸν interlined after καί. (2) In the margin Ζήτει ἄνω τὴν εὐχήν, Σοὶ εὐχαριστοῦμεν. [p. 228.]

PARIS MANUSCRIPT 2509.

Ὁ ἱερεὺς εὐχὴν πρὸ τοῦ εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Κύριε, τὸ τῆς σῆς γνώσεως ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. ἔνθες ἡμῖν καὶ τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησιν σὴν καὶ φρονοῦντες καὶ πράττοντες·

Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ Θεός, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἀρχιδιάκονος. Πρόσχωμεν τῇ ἁγίᾳ ἀναγνώσει

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ ἀρχιδιάκονος. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

Καὶ μετὰ τὸ εὐαγγέλιον ὁ ἱερεύς, Εἰρήνη σοι.

Ὁ λαός. Δόξα σοι, Κύριε.

Ὁ διάκονος. Σχολάσωμεν ἐκτενῶς. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνω εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ σωτηρίας καὶ

PARIS MANUSCRIPT 476.

Ὁ ἱερεὺς εὐχὴν πρὸ τοῦ εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Κύριε, τὸ τῆς σῆς γνώσεως ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησιν σὴν καὶ φρονοῦντες καὶ πράττοντες·

Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων, ὁ Θεός, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Ὀρθοὶ ἀκούσωμεν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Καὶ μετὰ τὸ εὐαγγέλιον ὁ διάκονος,

Σχολάσωμεν ἐκτενῶς.

Ὑπὲρ τῆς εἰρήνης.

Ὑπὲρ σωτηρίας.

(1) In the margin, *Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ ἐκτενὴ δέησις αὕτη μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου· ἐνταῦθα δὲ πρὸ τοῦ εὐαγγελίου. Ζήτει κ. δ'.* [p. 117. 155]. The Prayer is not in P.

(2) This in P. follows the prayer *Χριστιανὰ τὰ τέλη.*

(3) P. omits all until the invocation *Ὑπὲρ ἀφέσεως.*

ROTULUS MESSANENSIS.

Ὑπὲρ......ἀντιλήψεως τῶν ἁγίων πατέρων ἡμῶν, τοῦ Δ', καὶ τοῦ Δ', παντὸς...τοῦ Κυρίου δεηθῶμεν.

[*Desunt multa.*]

[The petitions Ἄγγελον εἰρήνης, &c. were used in the time of Chrysostom. See Hom. II. on 2 Cor. Ἐγείρεσθε. Τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε, οἱ κατηχούμενοι. Εἰρηνικὰ ὑμῖν πάντα τὰ προκείμενα· εἰρηνικὴν τὴν παροῦσαν ἡμέραν, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν αἰτήσασθε· Χριστιανὰ ὑμῶν τὰ τέλη· τὸ καλὸν καὶ τὸ συμφέρον.]

CODEX ROSSANENSIS.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγιωτάτου ἡμῶν τοῦ Δ', πατριάρχου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν· καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνι- [68 b]
κήν, καὶ ἀναμάρτητον, οἱ πάντες παρὰ τοῦ Κυρίου διελθεῖν αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.

Τὸν ὑπόλοιπον χρονον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ὑγιείᾳ ἐκτελέσαι ἡμᾶς, παρά.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα καὶ ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου, καὶ βαπτιστοῦ· τῶν θείων καὶ πανευφήμων ἀποστόλων, ἐνδόξων προφητῶν, ἀθλοφόρων καὶ μαρτύρων, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων,
μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους. [69]

PARIS MANUSCRIPT 2509.

ἀντιλήψεως τοῦ ἁγιωτάτου ἡμῶν Ἰωάννου, πατριάρχου, παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

9 Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν, καὶ συγχωρήσεως πλημμελημάτων· καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου. δεηθῶμεν.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον, οἱ πάντες παρὰ τοῦ Κυρίου διελθεῖν αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ
10 τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

(1) Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ὑγιείᾳ ἐκτελέσαι, παρὰ τοῦ Κ.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου
(2) Μαρίας· τοῦ ἁγίου Ἰωάννου, τοῦ ἐνδόξου προφήτου, προδρόμου, καὶ βαπτιστοῦ· τῶν θείων καὶ πανευφήμων ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων, μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

PARIS MANUSCRIPT 476.

Ὑπὲρ ἀφέσεως.

Τῶν ἁγίων ἐνδόξων.

Τὴν παροῦσαν.

Ἄγγελον εἰρήνης.

Συγγνώμην καὶ ἄφεσιν.

Τὰ καλά.

Τὸν ὑπόλοιπον.

Χριστιανά.

Τῆς παναγίας.

(1) "In marg. inf. codicis juxta Τὸν ὑπόλοιπον (p. 10, l. 3) hæc legitur rubrica: † Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ αἱ αἰτήσεις αὗται μετὰ τὸ χερουβικόν. Ζήτει κ. β′." (See p. 158.)

(2) P. omits the special mention of the Baptist, Prophets, Apostles, Martyrs.

ROTULUS MESSANENSIS.

[*Mutilus.*]

[It must be noted that the prayers for those afflicted by evil spirits and for the penitents mentioned by Saint Chrysostom (Hom. XVIII. on 2 Cor.) have disappeared from all extant copies of this Liturgy. This is of great moment in appreciating the date of the Liturgy as it is. The prayer for the Catechumens (Hom. II. on 2 Cor.) should be compared with the prayers in the Liturgy of the Presanctified.]

CODEX ROSSANENSIS.

Ὁ *λαός.* Σοί, Κύριε.

Ὁ *ἱερεὺς ἐπεύχεται λέγων,*

Ὁ ἐνηχήσας ἡμῖν Θεὸς τὰ θεῖά σου καὶ σωτήρια λόγια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὴν τῶν προαναγνωσθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν ᾀσμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον·

Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ.

Ὁ *λαός.* Ἀμήν.

Ὁ *ἱερεύς.* Εἰρήνη πᾶσιν.

Ὁ *διάκονος.* Τὰς κεφαλάς.

Ὁ *ἱερεὺς κλινόμενος ἐπεύχεται.*

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγέ, ὁ δοὺς τοῖς ἀνοήτοις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταξίωσον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι [69 b] λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος·

Ἐκφώνως. Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ὁ *διάκονος.* Ἐν εἰρήνῃ Χριστοῦ ψάλλομεν. (*sic*)

PARIS MANUSCRIPT 2509.

Ὁ *λαός.* Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐπεύχεται οὕτως.

Ὁ ἐνηχήσας ἡμᾶς Θεὸς τὰ θεῖά σου λόγια καὶ σωτήρια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν
(1) ἁμαρτωλῶν εἰς τὴν τῶν προαναγνωσθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν ᾀσμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον·

Ἐκφώνησις. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

P. 11 Ὁ *λαός.* Ἀμήν.

Ὁ *ἱερεύς.* Εἰρήνη πᾶσιν.

Ὁ *λαός.* Καὶ τῷ πνεύματί σου.

Ὁ *διάκονος.* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ *λαός.* Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐπεύχεται, λέγων,

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγέ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κυρίον ἡμῶν Ἰησοῦν Χριστόν, καταξίωσον ἡμᾶς ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος·

(2) *Ἐκφώνησις.* Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ὁ *λαός.* Ἀμήν.

(1) P. προλεχθέντων.

(2) "In marg. inf. codicis juxta Ὅπως ὑπὸ hæc legitur rubrica :

PARIS MANUSCRIPT 476.

Ὁ δὲ ἱερεὺς εὐχὴν μετὰ τὸ εὐαγγέλιον.

Ὁ ἐνηχήσας ἡμῖν Θεὸς τὰ θεῖά σου καὶ σωτήρια λόγια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὴν τῶν προαναγνωσθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν ᾀσμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον·

Ἐκφώνησις. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ *ἱερεύς.* Εἰρήνη πᾶσιν.

Ὁ *διάκονος.* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Δέσποτα ζωοποιὲ καὶ ἀγαθῶν χορηγέ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κυρίον ἡμῶν Ἰησοῦν Χριστόν, καταξίωσον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος·

Ἐκφώνησις. Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐτέθη ἡ ἐκφώνησις αὕτη παρὰ τῷ ἁγίῳ Βασιλείῳ εἰς τὸ τέλος τῆς εὐχῆς τῆς πρὸ τοῦ χερουβικοῦ. Ζήτει κ. ε'." M. Omont. (See p. 157.)

ROTULUS MESSANENSIS.

(1) (2) [Μήτις τῶν κατηχουμένων ὧδε ἔστω. Μήτις τῶν ἀμυήτων. Μήτις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι. Μηδεὶς κατὰ τοῦ ἑτέρου λόγον ἢ πονηρίαν ἐχέτω. Ἄφετε καὶ ἀφεθήσεται· τὰς ἁμαρτίας ὑμῶν ἐξομολογήσασθε, καὶ μετὰ κατανύξεως συγχωρήσασθε.

(3) Αἰτήσασθε μετὰ φόβου καὶ τρόμου.....

(4) Ἀλλήλους ἐπίγνωτε.

Ὀρθοί, πάντες.

Καὶ προέρχονται τὰ ἅγια.

(5) Οἱ τὰ χερουβίμ.

Ὅτε δὲ τεθῶσιν ἐν τῷ θυσιαστηρίῳ, εὔχεται ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

(6) Ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον.

Εὐχὴ εἰς τὸ θυμίαμα.

(7) Δέσποτα παντοκράτωρ, βασιλεῦ τῆς δόξης.]

(1) I take the passages in brackets again from the copy furnished by Monaldinius to Assemani. The original seems to have perished between the years 1752 and 1879.

(2) Compare Chrysost. Hom. III. ad Eph. p. 23, Ἀκούεις ἑστῶτος τοῦ κήρυκος καὶ λέγοντος· Ὅσοι ἐν μετανοίᾳ, ἀπέλθετε πάντες.

(3) "Desunt pauca." Monaldinius.

(4) Chrys. cont. Judæos I. p. 593, Οὐχ ὁρᾶτε ἐπὶ τῶν μυστηρίων τί βοᾷ συνεχῶς ὁ διάκονος, Ἐπιγινώσκετε ἀλλήλους;

(5) The order of the prayers differs in all the copies. The inference is that most of the collects here are of recent origin or introduction. I have chiefly kept the arrangement of the Messina Roll, but noted by the letters A, B, C, &c. the order of the prayers in each of the other MSS.

(6) Assemani gives only these seven words; the others in full. The prayer is taken from the old liturgy of Saint Basil (p. 76) whence it came into Saint Chrysostom (p. 108). The Rossano MS., however, reads *καὶ δι' οὓς προσήνεγκον, καὶ χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ἡμᾶς ἀκατακρίτους.* In 476 are several crosses.

(7) A. again gives only the first few words.

CODEX ROSSANENSIS.

Ὁ ἀρχιδιάκονος λέγει, Μήτις τῶν κατηχουμένων· μήτις τῶν ἀμυήτων· μήτις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι. Ἀλλήλους ἐπίγνωτε· τὰς θύρας· ὀρθοί, πάντες.

Ὁ ἀρχιδιάκονος λέγει, Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Καὶ μετὰ τὸ ἀποτεθῆναι τὰ δῶρα ἐν τῇ ἁγίᾳ [71] E
τραπέζῃ καὶ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον, ποιεῖ ὁ ἱερεὺς εὐχὴν τῆς προθέσεως.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, κ.τ.λ.

Ὁ ἱερεὺς λέγει εὐχὴν θυμιάματος πρὸ τῶν [69 b] A
ἁγίων.

Δέσποτα παντοκράτωρ, βασιλεῦ τῆς δόξης, ὁ Θεός, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς πάρεσον ἡμῖν ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων· κάθαρον
ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ [70]
μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας, καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ καὶ Νῶε καὶ Ἀαρὼν καὶ Σαμουὴλ καὶ πάντων τῶν ἁγίων σου, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν καὶ προσκυνεῖν καὶ δοξάζειν σέ, τὸν Πατέρα, καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον· νῦν καὶ ἀεί, καὶ εἰς τούς.

PARIS MANUSCRIPT 2509.

Ὁ *διάκονος.* Μήτις τῶν κατηχουμένων· μήτις τῶν ἀμυήτων· μήτις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι. Ἀλλήλους ἐπίγνωτε· τὰς θύρας· ὀρθοί, πάντες.

(1) Ὁ *ἀρχιδιάκονος.* Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

C Ὁ *ἱερεύς, εἰσάγων τὰ ἅγια δῶρα, λέγει τὴν*
·12 *εὐχὴν ταύτην.*

(2) Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, κ.τ.λ.

·11 Ὁ *ἱερεὺς εὐχὴν τοῦ θυμιάματος.*

A Δέσποτα παντοκράτωρ, βασιλεῦ τῆς δόξης, ὁ Θεός, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως
·12 αὐτῶν, αὐτὸς πάρεσον ἡμῖν ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων· κάθαρον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας, καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ καὶ Νῶε καὶ Ἀαρὼν καὶ Σαμουὴλ καὶ πάντων τῶν ἁγίων σου, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν καὶ προσκυνεῖν καὶ δοξάζειν σέ, τὸν Πατέρα, καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

(3) *Καὶ ἄρχονται οἱ ἀναγνῶσται τοῦ χερουβικοῦ.*

PARIS MANUSCRIPT 476.

Καὶ μετὰ τὸ ἀποθέσθαι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ, πρὸ τοῦ καλυφθῆναι αὐτὰ μετὰ τῆς νεφέλης, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως. E

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, κ.τ.λ. (2)

Εὐχὴ ἑτέρα ἥτις ἐνταῦθα συνάπτεται. D

Δέσποτα παντοκράτωρ, βασιλεῦ τῆς δόξης, ὁ Θεός, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς πάρεσον ἡμῖν ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων· κάθαρον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας, καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ, Νῶε, Ἀαρών, Σαμουήλ, καὶ πάντων τῶν ἁγίων σου, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν σοι καὶ προσκυνεῖν καὶ δοξάζειν σέ, τὸν Πατέρα, καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) P. omits Ὁ *ἀρχιδιάκονος.* (2) *Ut supra*, p. 76. (3) The hymn is not in P.

ROTULUS MESSANENSIS.

(1) [Εὐχὴ λεγομένη προερχομένων τῶν ἁγίων. Τοῦ ἁγίου Διονυσίου.

Τὸ φρικτόν σου, Κύριε, καταλαβόντες δάπεδον, θαμβούμεθα τῷ προσώπῳ, τῇ λαμπρᾷ σου τραπέζῃ προσερχόμενοι· καὶ πέλας τοῦ φοβεροῦ σου γινόμενοι βήματος, κλονούμεθα τῷ παλμῷ, τὰ μέλη βραττόμενοι, ἀνέφικτον θῦμα προσάγοντες. Τίς γὰρ γηγενῶν προσηλωμένος τοῖς πάθεσιν ἀξίως τηλικούτων μυστηρίων ἐφάψασθαι δύναται; ἀφαιρεῖται γὰρ τὴν παῤῥησίαν τὸ τῆς φύσεως ἄστατον, καὶ συνειδήσεις ἐναγεῖς τῷ νῷ κατεργάζεται, καὶ σκότος ἐπάγει τῷ βλέμματι ἄσεμνος πολιτεία καὶ βίος ἐπίμωμος· ὅθεν δεδοίαμεν καὶ τῷ φόβῳ κλονούμεθα, μήπως, ἀναξίως τῶν δώρων ἀψάμενοι, τρέψωμεν καθ' ἑαυτῶν τὴν θείαν ἐκδίκησιν. Διὸ καθικετεύομεν τὴν φιλανθρωπίαν σου, δὸς ἡμῖν ἁγιοπρεπῶς τῶν

CODEX ROSSANENSIS.

Ἄρχεται ὁ ἀναγνώστης καὶ λέγει, [70] B

Σιγησάτω πᾶσα σὰρξ βροτεία καὶ στήτω
μετὰ φόβου καὶ τρόμου καὶ μηδὲν γήϊνον
ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν
βασιλευόντων, Χριστὸς ὁ Θεὸς ἡμῶν, προέρ-
χεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν
τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ
χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ [70 b]
ἐξουσίας, τὰ πολυόμματα χερουβίμ, καὶ τὰ
ἑξαπτέρυγα σεραφίμ, τὰς ὄψεις καλύπτοντα
καὶ βοῶντα τὸν ὕμνον, Ἀλληλούϊα.

Ἄλλο.

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες. C

Εὐχὴ λεγομένη ὡς προέρχονται τὰ ἅγια· ἐκ τοῦ D
ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου.

Τὸ φρικτόν σου, Κύριε, καταλαβόντες
δάπεδον, θαμβοίμεθα τὸ πρόσωπον, τῇ λαμ-
πρᾷ σου τραπέζῃ προσερχόμενοι· καὶ πέλας
τοῦ φοβεροῦ σου γινόμενοι βήματος, κλο-
νούμεθα τῷ παλμῷ, τὰ μέλη βραττόμενοι,
ἀνέφικτον ἱερὸν θῦμα προσάγοντες. Τίς γὰρ
τῶν γηγενῶν προσηλωμένος τοῖς πάθεσιν
ἀξίως τηλικούτων μυστηρίων ἐφάψασθαι
δύναται; ἀφαιρεῖται γὰρ τὴν παῤῥησίαν
τὸ τῆς φύσεως ἄστατον, καὶ συνειδήσεις
ἐναγεῖς τῷ νῷ κατεργάζεται, καὶ σκότος
ἐπάγει τῷ τῆς ψυχῆς βλέμματι ἄσεμνος [71]
πολιτεία καὶ βίος ἐπίμωμος· ὅθεν δεδείαμεν
καὶ τῷ φόβῳ κλονούμεθα, μήπως, ἀναξίως
τῶν δώρων ἀψάμενοι, τρέψωμεν καθ' ἑαυτῶν
τὸ θεῖον εἰς ἐκδίκησιν. Διὸ καθικετεύομεν
τὴν φιλανθρωπίαν σου, δὸς ἡμῖν ἀδεῶς τῶν

(1) Chrysostom (on 2 Cor. Hom. XVIII. p. 568) distinctly mentions that after the uninitiated were expelled from the Church the faithful prostrated themselves. His words are these: Πάλιν ἐπειδὰν εἴρξωμεν τῶν ἱερῶν περιβόλων τοὺς οὐ δυναμένους τῆς ἱερᾶς μετασχεῖν τραπέζης, ἑτέραν δεῖ γενέσθαι εὐχήν, καὶ πάντες ὁμοίως ἐπ' ἐδάφους κείμεθα, καὶ πάντες ὁμοίως ἀνιστάμεθα.

PARIS MANUSCRIPT 2509.

B Σιγησάτω πᾶσα σὰρξ βροτεία καὶ στήτω μετὰ φόβου καὶ τρόμου καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν
(1) βασιλευόντων, Χριστὸς ὁ Θεὸς ἡμῶν, προέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, τὰς ὄψεις καλύπτοντα
(2) καὶ βοῶντα τὸν ὕμνον, Ἀλληλούϊα.

[To the prayer Ὁ Θεός, ο Θεὸς ἡμῶν, p. 239, is annexed in this MS. the note *ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ εὐχὴ αὕτη εἰς τὴν προσκομιδὴν τῆς προθέσεως. Ζήτει κ. α΄.* (p. 151).]

PARIS MANUSCRIPT 476.

Καὶ ἐπισυνάπτει καὶ ταύτην τὴν εὐχὴν τοῦ ἁγίου Διονυσίου. [70 b] B

Τὸ φρικτόν σου, Κύριε, καταλαβόντες δάπεδον, θαμβούμεθα τῷ προσώπῳ, τῇ λαμπρᾷ σου τραπέζῃ προσερχόμενοι· καὶ πέλας τοῦ φοβεροῦ σου γενόμενοι βήματος, κλονούμεθα τῷ παλμῷ τὰ μέλη βραττόμενοι, ἀνέφικτον ἱερὸν θῦμα προσάγοντες. Τίς γὰρ τῶν γηγενῶν, προσηλωμένος τοῖς πάθεσιν, ἀξίως τηλικούτων μυστηρίων ἐφάψασθαι δύναται; ἀφαιρεῖται γὰρ τὴν παῤῥησίαν τὸ τῆς πίστεως [ἄστατον] καὶ συνειδήσεις ἐναγεῖς τῷ νῷ κατεργάζεται, καὶ σκότος ἐπάγει τῆς ψυχῆς τῷ βλέμματι ἄσεμνος πολιτεία καὶ βίος ἐπίμωμος, ὅθεν δεδίαμεν καὶ τῷ φόβῳ κλονούμεθα, μήπως, ἀναξίως τῶν δώρων ἀψάμενοι, τρέψωμεν καθ' ἑαυτῶν τὴν θείαν ἐκδίκησιν. Διὸ καθικετεύομεν τὴν φιλανθρωπίαν σου, δὸς

(1) P. adds *καὶ κύριος τῶν κυριευόντων.*

(2) P. has the Ἀλληλούϊα three times.

ROTULUS MESSANENSIS.

ἁγίων σου μυστηρίων ἀπάρξασθαι· ἐνδυνάμωσον ἡμᾶς, Δέσποτα, ψυχῇ καὶ σώματι, καὶ χάρισαι ἡμῖν ἀμώμως ἱερουργῆσαι τῇ σῇ ἀῤῥήτῳ δυνάμει· πάντα γὰρ διὰ σοῦ εἰσίν, καὶ πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν.

Καὶ ἑτέρα εὐχὴ τοῦ ἁγίου Βασιλείου· Εὔχεται ὁ ἱερεὺς ταῦτα.

Οὐδεὶς ἄξιος.]

(1) This refers to the Liturgy of Saint Basil in the Codex Rossanensis.

CODEX ROSSANENSIS.

ἁγίων σου μυστηρίων ἐφάψασθαι· καὶ ἐνδυνάμωσον ἡμᾶς ψυχῇ καὶ σώματι, καὶ δὸς ἡμῖν ἱερουργῆσαι τῇ σῇ ἀῤῥήτῳ δυνάμει· πάντα γὰρ διὰ σοῦ γίνεται, καὶ πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ὁ ἱερεὺς ποιεῖ τὴν εὐχὴν ταύτην ὑπὲρ ἑαυτοῦ. I

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς.

Ζήτει, προεγράφη. (1)

Εὔχεται ὁ ἱερεύς. F [71 b]

Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς, ἐπὶ τῇ προθέσει τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύσει μετὰ ἁγίων καὶ δικαίων, νῦν καὶ *sic*
ἀεί, καὶ εἰς τούς.

PARIS MANUSCRIPT 2509.

P. 13 D ʽΟ *ἱερεύς.* Εἰρήνη πᾶσιν.

ʽΟ *διάκονος.* Κύριε, εὐλόγησον.

ʽΟ *ἱερεύς.* Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς, ἐπὶ τῇ προθέσει τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαίων, νῦν καὶ ἀεί.

PARIS MANUSCRIPT 476.

ἡμῖν ἁγιοπρεπῶς τῶν ἁγίων σου μυστηρίων ἀπάρξασθαι· ἐνδυνάμωσον ἡμᾶς, Δέσποτα, ψυχῇ καὶ σώματι, καὶ χάρισαι ἡμῖν ἀμώμως ἱερουργῆσαι τῇ σῇ ἀῤῥήτῳ δυνάμει· πάντα γὰρ διὰ σοῦ γίνεται, καὶ πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ʼΑμήν.

Καὶ *συνάπτει καὶ ταύτην τὴν εὐχὴν τοῦ θυμιάματος.* C

Μετὰ θυμιάματος ʼΑαρὼν καὶ Ζαχαρίου, τῶν θεραπόντων σου, καὶ πάσης εὐωδίας πνευματικῆς πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὴν τοῦ θυμιάματος τούτου ὁλοκαύτωσιν, ✠ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ἱλασμὸν παντὸς τοῦ λαοῦ σου, καὶ τῆς ἐξ ἁμαρτιῶν δυσωδίας καθαροὺς ἡμᾶς ἀναδείξας, τῷ ἁγίῳ σου θυσιαστηρίῳ προσάγαγε·

ʼ*Εκφώνησις.* ʽΟτι εὐλογημένον ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ʼΑμήν.

ʽΟ *διάκονος.* ʼΕν εἰρήνῃ Χριστοῦ ψάλατε. A

ʽΟ *δὲ ἱερεὺς τὴν εὐχήν, ἐξερχομένων τῶν δώρων, τοῦ ἁγίου Βασιλείου.*

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, κ.τ.λ. (1)

(1) The prayer resembles that in S. Chrysostom, p. 122, and need scarcely be reprinted. The words *καὶ καταχθονίων* are added after *καὶ ἐπιγείων*: *καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς* are omitted; and for *ἱερατείας* 476 reads *ἱερωσύνης*. It reads also *σοὶ γὰρ κλίνω*.

ROTULUS MESSANENSIS.

K [Εἶτα ὁ ἀρχιδιάκονος.

Ἐν σοφίᾳ Θεοῦ πρόσχωμεν.

Καὶ ἄρχεται ὁ ἱερεύς, Πιστεύω εἰς ἕνα Θεόν.

(1) Εὐχὴ πρὸ τοῦ ἀσπασμοῦ.

Ὁ πάντων Θεὸς καὶ Δεσπότης.]

CODEX ROSSANENSIS.

Ὁ διάκονος. Ἐν σοφίᾳ Θεοῦ πρόσχωμεν. G [72]

Ὁ λαός. Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα. H

Καὶ κλίνων ὁ ἱερεὺς λέγει, K

Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης, τοὺς ἀναξίους, φιλάνθρωπε· ἵνα καθαρεύοντες ἀπὸ παντὸς δόλου καὶ πάσης ὑποκρίσεως ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καί.

Ὁ διάκονος. Στῶμεν καλῶς. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. L (a)

Ὁ ἱερεὺς ἐκφώνως. Ὅτι Θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμοῦ καὶ φιλανθρωπίας M
ὑπάρχεις, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ [72 b]
Πνεῦμά σου τὸ πανάγιον, νῦν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι ἁγίῳ. N

Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος,

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. O

Ὁ ἱερεὺς κλίνει καὶ λέγει τὴν εὐχὴν ταύτην.

Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ P

(1) Chrys. on S. John Hom. LXXVIII. tom. 8, p. 464 ἐν τοῖς μυστηρίοις ἀσπαζόμεθα ἀλλήλους ἵνα οἱ πολλοὶ γενώμεθα ἕν.

(a) They seem to have risen from the ground here. The words are referred to by Chrysostom, "De incompreh." tom. 1, p. 478 καὶ γὰρ αὐτὸ τοῦτο τὸ παρακελεύεσθαι τὸν διάκονον ἅπασι καὶ λέγειν Ὀρθοὶ στῶμεν καλῶς. See too the passage in the second homily on 2 Cor. above.

PARIS MANUSCRIPT 2509.

(1) Ὁ ἀρχιδιάκονος. Ἐν σοφίᾳ πρόσχωμεν.

E Ἄρχεται ὁ ἱερεύς.

ΠΙΣΤΕΥΩ ΕΙΣ ΕΝΑ ΘΕΟΝ.

Καὶ ἐπεύχεται κλίνας τὸν αὐχένα.

F S R ii. 29 Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης, τοὺς ἀνα-
S A ξίους, φιλάνθρωπε· ἵνα καθαρεύοντες παντὸς δόλου καὶ πάσης ὑποκρίσεως ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) (2) G S R Ὁ ἀρχιδιάκονος, Στῶμεν καλῶς. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς. Ὅτι Θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

(1) H Ὁ ἀρχιδιάκονος. Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

Καὶ πάλιν. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ ἱερεὺς ἐπικλινόμενος λέγει τὴν εὐχὴν ταύτην.

I S A Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ

(1) P. ὁ διάκονος.

(2) P. στῶμεν καλῶς, στῶμεν εὐλαβῶς, στῶμεν

PARIS MANUSCRIPT 476.

Καὶ μετὰ τὸ εἰπεῖν τὸν διάκονον τὸ Ἐν σοφίᾳ Θεοῦ πρόσχωμεν, F

Καλύπτει ὁ ἱερεὺς τὰ ἅγια μετὰ τῆς νεφέλης καὶ ἄρχεται τὴν πίστιν καὶ λέγει τὸν πρῶτον λόγον τό, ΠΙΣΤΕΥΩ ΕΙΣ ΕΝΑ ΘΕΟΝ.

Καὶ λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ πρὸ τοῦ ἀσπασμοῦ· Πάντα τοίνυν. G

Ὁ ἱερεὺς λέγει.

Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ἁγίας ὥρας ταύτης, τοὺς ἀναξίους, φιλάνθρωπε· ἵνα καθαρεύοντες παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. H

Ὁ διάκονος. Στῶμεν καλῶς. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. I

Ὁ ἱερεὺς ἐκφωνεῖ. Ὅτι Θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι. K

Καί, μετὰ τὸ δοθῆναι τὴν ἀγάπην, ὁ διάκονος, Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ ἱερεὺς τὴν εὐχήν. L

Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεός, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ

μετὰ φόβου Θεοῦ καὶ κατανύξεως.

ROTULUS MESSANENSIS.

(1) With the call to prayer which the deacon here made, as exhibited in the other MSS., compare the passage in Chrysostom's second homily "De prophetiarum obscuritate," tom. VI. p. 188. *Κοινῇ πάντες ἀκούοντες τοῦ διακόνου τοῦτο κελεύοντος καὶ λέγοντος, Δεηθῶμεν ὑπὲρ τοῦ ἐπισκόπου καὶ τοῦ γήρως καὶ τῆς ἀντιλήψεως, καὶ ἵνα ὀρθοτομῇ τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπὲρ τῶν ἐνταῦθα, καὶ ὑπὲρ τῶν ἀπανταχοῦ, οὐ παραιτεῖσθε ποιεῖν τὸ ἐπίταγμα, ἀλλὰ μετ' ἐκτενείας ἀναφέρετε τὴν εὐχήν, εἰδότες τῆς ὑμετέρας συνόδου τὴν δύναμιν. Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα· τῇ γὰρ εὐχῇ τῶν κατηχουμένων οὐδέπω τοῦτο ἐπιτέτραπται, ἐπειδὴ οὐδέπω πρὸς τὴν παρρησίαν ἔφθασαν ταύτην· ὑμῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς ἐκκλησίας τῆς μέχρι περάτων τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων αὐτὴν ἐπισκόπων ἁπάντων, παρακελεύεται ποιεῖσθαι τὰς δεήσεις ὁ ταύταις διακονῶν. Καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦντες ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμις τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερομένης ἐστίν.*

Again on 2 Cor. Hom. II. tom. 10, p. 440. *Καὶ ἐπὶ τῶν πιστῶν ὑπὲρ ἐπισκόπων, ὑπὲρ πρεσβυτέρων, ὑπὲρ βασιλέων, ὑπὲρ τῶν κρατούντων, ὑπὲρ γῆς καὶ θαλάσσης, ὑπὲρ ἀέρων, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης, κελευομεθα προσιέναι τῷ φιλανθρώπῳ Θεῷ.*

CODEX ROSSANENSIS.

ἁγίου σου θυσιαστηρίου καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεάς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθήν, καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ καὶ ἀναφαιρέτῳ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν·

Ἐκφώνως. Ὅτι αἰνετὸν καὶ προσκυνη- Q
τὸν καὶ ὑπερένδοξον ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου.

Ἀρχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Ἰακώβου. R [73]

Πρῶτον ἐπεύχεται τοῖς συμπαρισταμένοις λέγων,

Ὁ διάκονος. Κύριε, εὐλόγησον.

Ὁ ἱερεὺς λέγει.

Ὁ Κύριος εὐλογήσει καὶ συνδιακονήσει S
ἡμῖν· καὶ ἀξίους ἡμᾶς ποιήσει τῆς παραστάσεως τοῦ ἁγίου αὐτοῦ θυσιαστηρίου καὶ τῆς ἐπελεύσεως τοῦ ἁγίου αὐτοῦ Πνεύματος, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καί.

Εὐχὴ ἄλλη ὁμοία.

Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων T
πάντας ἡμᾶς ἐπὶ τῇ παραστάσει καὶ ἱερουργίᾳ τῶν ἀχράντων αὐτοῦ μυστηρίων, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ὁ διάκονος λέγει συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. (1)

Σῶσον, ἐλέησον, οἰκτείρησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ Θεοῦ φιλανθρωπίας, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

ROTULUS MESSANENSIS.

[Καὶ πληρουμένου τοῦ Συμβόλου.

(1) Ὑπὲρ σωτηρίας καὶ ἀν]τιλήψε[ως τοῦ ὁσίου πατρὸς ἡμῶν τοῦ Δ'., παντὸς τοῦ κλ]ήρου καὶ τοῦ φιλοχρί[στου λαοῦ, τοῦ Κυρίου.

Ὑπὲρ τοῦ εὐσε]βεστάτου καὶ φιλο[χρίστου ἡμῶν βασιλέ]ως, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου, καὶ τῆς οὐρανόθεν
(2) βοηθείας καὶ νίκης αὐτοῦ.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει καὶ εὐλαβείᾳ οἰκούντων ἐν αὐταῖς,
(3) εἰρήνης καὶ ἀσφαλείας αὐτῶν, τοῦ Κυρίου.

Ὑπὲρ τῶν ἐλθόντων καὶ ἐρχομένων χριστιανῶν τοῦ προσκυνῆσαι ἐν τοῖς ἁγίοις τοῦ
(4) Χριστοῦ τόποις τούτοις, εἰρηνικῆς ἐπανόδου ἑκάστου αὐτῶν, μετὰ χαρᾶς, ἐν τάχει εἰς τὰ οἰκεῖα αὐτῶν.

(5) Ὑπὲρ τῶν νοσούντων καὶ καμνόντων, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν.

Καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῆς θλι-
(6) βομένης καὶ καταπονουμένης, ἐλέους καὶ

CODEX ROSSANENSIS.

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης καὶ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ γῆς περάτων μέχρι τῶν περάτων αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ Δ'., τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοστέπτων ὀρθοδόξων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τῆς οὐρανόθεν βοηθείας, σκέπης, καὶ νίκης αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης, καὶ τῆς θεωνύμου πόλεως ἡμῶν ταύτης, πάσης πόλεως, κώμης καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει καὶ εὐλαβείᾳ Θεοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, καὶ ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων· καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευμά-

(1) The Roll at present begins here. I have continued to place in brackets letters given by Monaldinius which have since perished.

(2) σκέπης interlined before καί.

(3) Assemani asserted that there was a great lacuna here, and passed to the clause ὑπὲρ μνήμης. He must have mistaken some expression of his friend's.

(4) In the margin πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων, καὶ τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν (after τούτοις).

(5) In the margin ἐν γήρᾳ καὶ ἐν ἀδυναμίᾳ ὄντων (before νοσούντων).

(6) Θεοῦ interlined after ἐλέους.

PARIS MANUSCRIPT 2509.

(1) Ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ γῆς [περάτων] μέχρι τῶν περάτων αὐτῆς, τοῦ Κυρίου.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοστέπτων ὀρθοδόξων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τῆς οὐρανόθεν βοηθείας καὶ νίκης αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης, πάσης πό-
sic λεως καὶ χώρας, καὶ τῶν ὀρθοδόξων πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

R°. 15 Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, μεμνημένων τῶν πενήτων, χηρῶν, καὶ ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων· καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευ-

(1) This and the next two petitions are not in P. [I have corrected the MS. from the Rossano copy.]

PARIS MANUSCRIPT 476.

ROTULUS MESSANENSIS.

βοηθείας ἐπιδεομένης, ἐκτενῶς δεηθῶ-
(1) μεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, ἀνάγκης, καὶ ἐπαναστάσεως ἐθνῶν, τοῦ Κυρίου.

Ὑπὲρ εὐκρασίας τῶν ἀέρων, ὄμβρων ἀγα-
(2) θῶν, εὐλογημένων καρπῶν εὐφορίας, τελείας
εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυ-
(3) τοῦ, τοῦ Κυρίου.

(4) Ὑπὲρ μνήμης τῶν ἁγίων πατέρων ἡμῶν, τῶν ἀπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοῦ τοῦ Κυρίου καὶ πρώτου τῶν ἀρχιεπισκόπων, μέχρι Νικολάου, καὶ Ἠλία, καὶ Βενεδίκτου, καὶ Ἀγαπίου, καὶ Ὀρέστου, καὶ λοιπῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀδελφῶν, τοῦ.

(1) In the margin ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ καὶ ἀσκήσει διαμενόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, σπουδῆς, καμάτου, καὶ προθυμίας αὐτῶν, τοῦ Κυρίου.

(2) εἰρηνικῶν interlined over εὐλογημένων.

(3) In the margin ὑπὲρ τῶν καρποφορησάντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων, καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς ἡμῶν, τοῦ Κυρίου.

(4) ἀνέσεως καὶ ἀναπαύσεως interlined after μνήμης.

CODEX ROSSANENSIS.

-των ἀκαθάρτων ὀχλουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ἀσκήσει καὶ ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστιανῶν, καὶ τῶν ἐν αἰχμαλωσίαις
καὶ ἐξορίαις καὶ ἐν φυλακαῖς καὶ πικραῖς [74 b]
δουλείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου ἑκάστου εἰς τὰ οἰκεῖα μετὰ χαρᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν παρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ καὶ ἐν παντὶ καιρῷ, πατέρων τε καὶ ἀδελφῶν, σπουδῆς, καμάτου, καὶ προθυμίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ὑγιείας τῶν ἀσθενούντων, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων, πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύ-
νου καὶ ἀνάγκης, ἐπαναστάσεως ἐθνῶν, τοῦ [75]
Κυρίου δεηθῶμεν.

Ἐκτενέστερον ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

PARIS MANUSCRIPT 2509.

μάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ καὶ ἀσκήσει καὶ ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων Χριστιανῶν, καὶ τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις καὶ ἐν φυλακαῖς καὶ πικραῖς δουλείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

(1) *Ὑπὲρ τῶν παρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ καὶ ἐν παντὶ καιρῷ, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, σπουδῆς, καμάτου, καὶ προθυμίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.*

(1) *Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ὑγιείας τῶν ἀσθενούντων, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων, πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.*

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

(2) *Ἐκτενέστερον ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ, τοῦ Κυρίου δεηθῶμεν.*

PARIS MANUSCRIPT 476.

(1) In P. these two petitions follow the prayer *ὑπὲρ εὐκρασίας.*

(2) P. has not *ἐκτενέστερον.*

ROTULUS MESSANENSIS.

Ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ καταπεμφθῆναι πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ ἐπὶ πάντας ἡμᾶς, καὶ καταξιωθῆναι ἡμᾶς τῆς βασιλείας
(1) τῶν οὐρανῶν, τοῦ Κυρίου.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρ-
(2) θένου Μαρίας, τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων, τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ καλλινίκων μαρτύρων, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις
(3) αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Ὁ δὲ ἱερεύς, σφραγίζων τὰ δῶρα, λέγει,

CODEX ROSSANENSIS.

Ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ ἐπὶ πάντας ἡμᾶς, καὶ τοῦ καταξιωθῆναι πάντας τῆς βασιλείας τῶν οὐρανῶν, ἐκτενῶς δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ μακαρίων Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ, Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, Μωϋσέως, Ἀαρών, Ἡλίου, Ἐλισσαίου, Σα- [75 b]
μουήλ, Δαβίδ, Δανιὴλ τῶν προφητῶν, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Καὶ ὑπὲρ τῶν προκειμένων τιμίων καὶ ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ τιμίου πατρὸς ἡμῶν καὶ ἱερέως, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ λαός. Κύριε, ἐλέησον. γʹ.

Καί, τοῦ διακόνου ταῦτα λέγοντος, ὁ ἱερεὺς σφραγίζει τὰ δῶρα, λέγων καθ' ἑαυτὸν ἱστάμενος,

(1) In the margin, in a later hand, *ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πάντων τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι καὶ σωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρων, τοῦ...*
This may be found in the text above.

(2) *ἐνδόξων* interlined after *ἀρχαγγέλων*.

(3) In the margin, in a much later hand, *καὶ ὑπὲρ τῶν προκειμένων ἀγαθῶν, ἁγίων, ἐνδόξων, ἐπουρανίων, ἀῤῥήτων, φοβερῶν, φρικτῶν, ἀθανάτων, ζωοποιῶν, τιμίων, θείων δώρων, σωτηρίας καὶ ἀντιλήψεως τοῦ παρεστῶτος καὶ προσφέροντος τιμίου πατρὸς ἡμῶν καὶ ἀρχιερέως, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Κύριε, ἐλέησον. γʹ.* [The abbreviations are very difficult to read.]

PARIS MANUSCRIPT 2509.

16 Ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ
1) ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ μακαρίων Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν θείων καὶ πανευφήμων ἀποστόλων, Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος, Μωσέως, Ἀαρών, Ἠλίου, Ἐλισσαίου, Δαβίδ, Δανιήλ, τῶν προφητῶν καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν.

Καὶ ὑπὲρ τῶν προκειμένων τιμίων, ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ ἱερέως, Κύριον τὸν Θεὸν ἱκετεύσωμεν.

Ὁ λαός. Κύριε, ἐλέησον. *Ἐκ τρίτου.*

17 *Εἶτα σφραγίζει τὰ δῶρα ὁ ἱερεύς, καὶ ἱστάμενος λέγει καθ' ἑαυτὸν οὕτως,*

PARIS MANUSCRIPT 476.

Καὶ ἐν ὅσῳ λέγει ὁ διάκονος τὴν καθολικήν, ὁ ἱερεὺς λέγει καθ' ἑαυτὸν ἱστάμενος καὶ σφραγίζων τὰ δῶρα ἐκ τρίτου,

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. ✠ *ἐκ τρίτου.*

(1) In P. all between Μαρίας and *καὶ πάντων τῶν ἁγίων* is omitted, and the sentence is filled up as in the Rossano Codex.

ROTULUS MESSANENSIS.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, καὶ ἐν ἀνθρώποις εὐδοκία. γ΄.

Καὶ πάλιν σφραγίζει τὰ χεῖλη, λέγων,

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. γ΄.

Καὶ ἐπάγει,

(1) Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου, γ΄.

Καὶ πάλιν σφραγίζει τὰ δῶρα, λέγων,

Τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

(2) *Καὶ κλίνων εὔχεται.*

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε, καὶ χαρισάμενος ἡμῖν παῤῥησίαν, τοῖς ταπεινοῖς καὶ ἁμαρ-

sic τωλοῖς καὶ ἀναξίοις σου δούλοις, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν

(3) σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον

(1) Κύριε interlined after *αἰνέσεως*.

(2) *καθ᾽ ἑαυτόν* added in a later hand.

CODEX ROSSANENSIS.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. *λέγει γ΄.*

Κύριε, τὰ χεῖλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. *λέγει γ΄.*

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου, *λέγει γ΄.*

Τοῦ Πατρός, Ἀμήν.

Καὶ τοῦ Υἱοῦ, Ἀμήν.

Καὶ τοῦ ἁγίου Πνεύματος, Ἀμήν. [78]

Νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Καὶ κλίνας ἔνθεν καὶ ἔνθεν λέγει πρὸς τοὺς συλλειτουργούς,

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Καὶ ἀποκρίνονται, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Μνήσθητι καὶ ἡμῶν, δέσποτα.

Ὁ δὲ λέγει,

Μνησθῇ ἡμῶν Κύριος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Εἶτα κλίνων ὁ ἱερεὺς λέγει καθ᾽ ἑαυτὸν εὐχὴν προσκομιδῆς τοῦ ἁγίου Ἰακώβου.

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε, καὶ χαρισάμενος παῤῥησίαν ἡμῖν, τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ

(3) In the margin *φοβερὰν* (for *λογικήν*).

ROTULUS MESSANENSIS.

(1) θυσίαν ὑπὲρ τῶν ἡμετέρων πλημμελημάτων
καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον
(2) ἐπ' ἐμέ, τὸν ταπεινὸν καὶ ἀχρεῖον δοῦλόν
σου, καὶ ἐξάλειψον τὰ παραπτώματα διὰ τὴν
(3) πολλήν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου
τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυ-
σμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἀπόστησον
ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ
ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ χάριτι τοῦ
Χριστοῦ σου καὶ τῇ δυνάμει τοῦ παναγίου
σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην·
καὶ πρόσδεξαί με διὰ τὴν ἀγαθότητά σου
προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ,
καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ
προσαγόμενα ταῦτα δῶρα διὰ τῶν ἡμετέρων
χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενεί-
αις· καὶ μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου
(4) σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα,
ἀλλ' ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός
σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου
παρένεγκαι τὰ ἀνομήματά μου, ἵνα, ἀκατακρί-
τως προσελθὼν κατενώπιον τῆς ἁγίας δόξης
σου, ἀξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς
σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου
Πνεύματος· καὶ μὴ ὡς δοῦλος ἁμαρτίας
ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς
εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν
(5) ἐνώπιόν σου, καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλ-
(6) λοντι αἰῶνι. Ναί, Δέσποτα, παντοδύναμε
Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου καὶ
(7) χάρισαί μοι τὴν ἀμνηστίαν τῶν κακῶν μου·
σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, καὶ

(1) In the margin ἁμαρτιῶν (for πλημμελ.).
(2) In the margin apparently ἁμαρτωλόν.
(3) καὶ ἄφατόν σου interlined after πολλήν.
(4) Κύριε, interlined after προσώπου σου.

CODEX ROSSANENSIS.

ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, ἐπίβλεψον ἐπ' ἐμέ, τὸν ἀχρεῖον [76 b] δοῦλόν σου, καὶ ἐξάλειψόν μου τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος, καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην· καὶ πρόσδεξαί με διὰ τὴν σὴν ἀγαθότητα προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενά σοι δῶρα ταῦτα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά μου, ἵνα, ἀκατακρίτως προσελθὼν κατε- [77]
νώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος· καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ναί, Δέσποτα παντοκράτωρ, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες

(5) Κύριε, added after ἐνώπιόν σου.
(6) παντοκράτωρ inserted after Δέσποτα.
(7) δώρησαι in the margin for χάρισαι.

PARIS MANUSCRIPT 2509.

θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον ἐπ' ἐμέ, τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψόν μου τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἀπόστησον ἀπ'
.18 ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην· καὶ πρόσδεξαί με διὰ τὴν ἀγαθότητά σου προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενα ταῦτα δῶρα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά
1) μου, ἵνα, ἀκατάκριτος προσελθὼν κατενώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου Πνεύματος· καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐνώπιόν σου, καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ναί, Δέσποτα παντοκράτωρ, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοή-

PARIS MANUSCRIPT 476.

θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον ἐπ' ἐμέ, τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψον τὰ παραπτώματά μου διὰ τὴν σὴν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ χάριτι τοῦ Χριστοῦ σου καὶ τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην· καὶ πρόσδεξαί με διὰ τὴν σὴν χρηστότητα προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενά σοι δῶρα ταῦτα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκαι τὰ ἀνομήματά μου, ἵνα, ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς ἁγίας δόξης σου, ἀξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος· καὶ μὴ ὡς δοῦλος τῆς ἁμαρτίας ἀδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐνώπιόν σου, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Ναί, παντοδύναμε Κύριε, ἐπάκουσον τῆς δεήσεώς μου, καὶ χάρισαί μοι τὴν ἀμνηστίαν τῶν κακῶν μου· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι,

(1) P. reads ἀκατακρίτως.

ROTULUS MESSANENSIS.

τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

(1) Εὐχὴ Β'.
(2) Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν καὶ ἀγαθότητα ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντας προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, Δέσποτα, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ,
(3) δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ· ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου καὶ
(4) ἡμῖν τὸ οἰκονομηθὲν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν τε καὶ σωμάτων, εἰς
(5) εὐαρέστησιν σήν· ὅτι εὐλογημένος Θεὸς ὑπάρχεις, καὶ πρέπει σοι ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

(6) Εὐχὴ Γ, τοῦ ἁγίου Βασιλείου.
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ

CODEX ROSSANENSIS.

ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ζωοποιοῦ καὶ ὁμουσίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν.

Καὶ ταύτην συνάπτων λέγει,

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον
ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς [77 b]
ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντάς σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ· καὶ νῦν ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σωμάτων, εἰς εὐαρέστησιν σοῦ τοῦ Θεοῦ καὶ Πατρός.

Καὶ πάλιν συνάπτων ὁ ἱερεὺς λέγει εὐχήν,
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ

(1) Διονυσίου added in a later hand. συναπτ. λέγων, still later, in the margin.
(2) σου interlined after ἄφατον.
(3) καὶ νῦν interlined before ἱκετεύομεν.
(4) ἡμῖν interlined after οἰκονόμηθεν.
(5) In the margin ἄλλως. χάριτι καὶ οἰκτιρμοῖς.
(6) In the margin συνάπτει καὶ ταύτην.

PARIS MANUSCRIPT 2509.

θειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ καὶ ὁμοουσίου Πνεύματος, νῦν καὶ εἰς τοὺς
(1) αἰῶνας.

(2) *Καὶ ἐπισυνάπτει τὴν εὐχὴν ταύτην.*

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντάς σοι τῇ φοβερᾷ ταύτῃ καὶ ἀναιμάκτῳ θυσίᾳ· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ· ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σωμά-
P. 19 των, εἰς εὐαρέστησιν σοῦ τοῦ Θεοῦ καὶ Πατρός, ἐν ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, εἰς τοὺς αἰῶνας.

(3) *Ἑτέρα εὐχή.*

Κύριε ὁ Θεός, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν

PARIS MANUSCRIPT 476.

καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ καὶ ὁμοουσίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ β'.

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντας προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ καὶ τὸ γένος ἡμῶν περιποιῇ· καὶ νῦν ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, καὶ εἰς ἀνανέωσιν ψυχῶν τε καὶ σωμάτων, εἰς εὐαρέστησιν σὴν τοῦ Θεοῦ καὶ Πατρός,

Ἐκφώνησις. Ὅτι φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ πρέπει σοι ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Καὶ ἐπισυνάπτει καὶ ταύτην τὴν εὐχὴν τοῦ μεγάλου Βασιλείου.

Κύριε ὁ Θεός, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν

(1) "In margine inferiori codicis hæc legitur rubrica:

Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ τὰ μέρη ταῦτα εἰς τὴν εὐχὴν τοῦ χερουβικοῦ ἧς ἡ ἀρχή· Οὐδεὶς ἄξιος. Ζήτει κεφαλαίῳ ϛ'." See p. 78. The parallel passages however are very few.

(2) P. omits this line entirely.

(3) "In marg. inf. cod. hæc legitur rubrica: † *Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ πᾶσα ἡ εὐχὴ αὕτη, ἐν ὀλίγοις δὲ ἀλλάττουσα, ζήτει κ. η'.*" See p. 79. P. omits the title.

ROTULUS MESSANENSIS.

ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν
(1) οὐρανίων μυστηρίων ἀποκάλυψιν, ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· εὐδόκησον, Δέσποτα, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι
(2) δῶρά τε καὶ θυσίας ὑπὲρ ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν φοβερὰν ταύτην πνευματικὴν καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιόν σου καὶ ὑπερουράνιον καὶ νοερὸν θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· καθὼς προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως πρόσδεξαι καὶ ἐκ χειρὸς
(3) ἡμῶν τῶν ἁμαρτωλῶν τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμέ-

CODEX ROSSANENSIS.

ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκαλύψεις· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ.........παναγίου σου [78] (4)
Πνεύματος· εὐδόκησον, Δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ [78 b]
δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν Πνεύ-

(1) ἀποκαλύψεις in the margin.
(2) τε interlined after ὑπὲρ.
(3) προκείμενα interlined for δῶρα.
(4) An erasure in the MS.

PARIS MANUSCRIPT 2509.

εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· εὐδόκησον, Δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν Πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν

(1) P. adds πνευματικῆς.
(2) P. omits ἁγίων.

PARIS MANUSCRIPT 476.

εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· εὐδόκησον δή, Δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, ✠ Νῶε τὰς θυσίας, ✠ Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, ✠ Μωυσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, ✠ Σαμουὴλ τὰς εἰρηνικάς, ✠ Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ✠

Καὶ εὐθέως βάλλει ὁ ἱερεὺς θυμίαμα εἰς τὸν θυματὸν καὶ εὐλογεῖ κατὰ ἀριθμὸν τῶν σταυρῶν.

Ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· ✠ καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ✠ ἡγιασμένην ἐν Πνεύματι ἁγίῳ, ✠ εἰς ἐξίλασμα τῶν

ROTULUS MESSANENSIS.

ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας
ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν
(1) οὐρανίων μυστηρίων ἀποκάλυψιν, ὁ θέμενος
ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυ-
νάμει τοῦ παναγίου σου Πνεύματος· εὐδό-
κησον, Δέσποτα, τοῦ γενέσθαι ἡμᾶς διακό-
νους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς
τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσ-
δεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου
θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους
σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι
(2) δῶρά τε καὶ θυσίας ὑπὲρ ἑαυτῶν καὶ τῶν
τοῦ λαοῦ σου ἀγνοημάτων· καὶ δὸς ἡμῖν,
Κύριε, μετὰ παντὸς φόβου καὶ συνει-
δήσεως καθαρᾶς προσκομίσαι σοι τὴν φο-
βερὰν ταύτην πνευματικὴν καὶ ἀναίμακτον
θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιόν σου
καὶ ὑπερουράνιον καὶ νοερὸν θυσιαστήριον,
εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν
τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου σου
Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ'
ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν
ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς
προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας,
Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ
Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρη-
νικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ
θυμίαμα· καθὼς προσεδέξω ἐκ χειρὸς τῶν
ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην
λατρείαν, οὕτως πρόσδεξαι καὶ ἐκ χειρὸς
(3) ἡμῶν τῶν ἁμαρτωλῶν τὰ δῶρα ταῦτα ἐν
τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν
προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμέ-

(1) ἀποκαλύψεις in the margin.
(2) τε interlined after ὑπὲρ.

CODEX ROSSANENSIS.

ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας
ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος
ἡμῖν οὐρανίων μυστηρίων ἀποκαλύψεις· σὺ
εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην
ἐν τῇ δυνάμει τοῦ.........παναγίου σου [78] (4)
Πνεύματος· εὐδόκησον, Δέσποτα, γενέσθαι
ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης,
λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων·
καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ
ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ
ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσ-
φέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε
ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ
δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ
συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν
πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν,
ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερου-
ράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς
ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν
χάριν τοῦ παναγίου σου Πνεύματος. Ναί,
ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ
τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν, καὶ
πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ [78 b]
δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλο-
καρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερω-
σύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν
μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσ-
εδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων
τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως πρόσ-
δεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν
τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστό-
τητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν
ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν Πνεύ-

(3) προκείμενα interlined for δῶρα.
(4) An erasure in the MS.

PARIS MANUSCRIPT 2509.

εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· εὐδόκησον, Δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς
(1) ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς
(2) προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν Πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν

(1) P. adds πνευματικῆς.
(2) P. omits ἁγίων.

PARIS MANUSCRIPT 476.

εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· εὐδόκησον δή, Δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου σου Πνεύματος. Ναί, ὁ Θεός, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, ✠ Νῶε τὰς θυσίας, ✠ Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, ✠ Μωυσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, ✠ Σαμουὴλ τὰς εἰρηνικάς, ✠ Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ✠

Καὶ εὐθέως βάλλει ὁ ἱερεὺς θυμίαμα εἰς τὸν θυματὸν καὶ εὐλογεῖ κατὰ ἀριθμὸν τῶν σταυρῶν.

Ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· ✠ καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ✠ ἡγιασμένην ἐν Πνεύματι ἁγίῳ, ✠ εἰς ἐξίλασμα τῶν

ROTULUS MESSANENSIS.

νην ἐν Πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν
(1) (2) ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ
(3) ἀγνοημάτων, καὶ εἰς ἀνάπαυσιν τῶν κεκοι-
(4) μημένων ψυχῶν· ἵνα καὶ ἡμεῖς, οἱ ἁμαρτωλοὶ
καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδό-
(5) λως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ,
λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονί-
μων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος
ἐνώπιόν σου ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεώς
σου, τῆς δικαίας καὶ ἀγαθῆς.

(6) *Καὶ συνάπτει ταύτην τὴν εὐχήν.*

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν,
ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον
τῶν ἁγίων, ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνε-
καίνισας ἡμῖν, ὁδὸν πρόσφατον καὶ ζῶσαν,
διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς τοῦ
Χριστοῦ σου· καταξιωθέντες συνεισελθεῖν
εἰς τόπον σκηνώματος τῆς δόξης σου, ἔσω
τε γενέσθαι τοῦ καταπετάσματος, καὶ τὰ
ἅγια τῶν ἁγίων κατοπτεῦσαι, προσπίπτομεν
τῇ ἀγαθότητί σου· Δέσποτα, ἐλέησαι ἡμᾶς,
ἐπειδὴ ἔμφοβοί ἐσμεν καὶ ἔντρομοι, μέλ-
(7) λοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστη-
(8) ρίῳ· καί, τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τε-
λετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγ-
μάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδει-
ξον, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ
ἀπεριλήπτου φωτὸς πλήρωσον, καὶ καθάρας
τὴν πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ
σαρκὸς καὶ πνεύματος, ἀξίαν ἀπέργασαι

CODEX ROSSANENSIS.

ματι ἁγίῳ εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημ-
μελημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων,
καὶ εἰς ἀνάπαυσιν τῶν προκοιμηθέντων
ψυχῶν· ἵνα καὶ ἡμεῖς, οἱ ταπεινοὶ καὶ ἁμαρ-
τωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες
ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσια-
στηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν [79]
καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν
καὶ ἔλεον ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀντ-
αποδόσεώς σου, τῆς δικαίας καὶ ἀγαθῆς.

Καὶ πάλιν ἐπισυνάπτει ὁ ἱερεὺς καὶ λέγει εὐχὴν κλινόμενος τοῦ καταπετάσματος.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν,
ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον
τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνε-
καίνισας ἡμῖν, ὁδὸν πρόσφατον καὶ ζῶσαν,
διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ·
καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκη-
νώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ
καταπετάσματος, καὶ τὰ ἅγια τῶν ἁγίων
κατοπτεῦσαι, προσπίπτομεν τῇ ἀγαθότητί
σου· Δέσποτα, ἐλέησαι ἡμᾶς, ἐπειδὴ ἔμφοβοι
καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρίστασθαι
τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν
σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον
θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων [79 b]
καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἐξαπόστει-
λον ἐφ' ἡμᾶς, ὁ Θεός, τὴν χάριν σου τὴν
ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ
τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον
ἡμῶν τὰ φρονήματα πρὸς εὐσέβειαν, ἵνα ἐν

(1) *πλημμελημάτων* in the margin for *ἁμαρ.*
(2) *σου* interlined after λαοῦ.
(3) *προ* interlined (*προκεκοιμημένων*).
(4) *ταπεινοὶ καὶ* interlined after *οἱ.*
(5) *ἀμέμπτως* interlined for ἀδόλως (?).

(6) This apparently is inserted. In the margin we have *εὐχὴ τοῦ καταπετάσματος.*
(7) *παρίστασθαι* in the margin.
(8) This deeply interesting phrase will be found below in the other MSS.

PARIS MANUSCRIPT 2509.

ἡμετέρων πλημμελημάτων καὶ τῶν τοῦ λαοῦ
Γ. 20 ἀγνοημάτων, καὶ εἰς ἀνάπαυσιν τῶν προκεκοιμημένων ψυχῶν· ἵνα καὶ ἡμεῖς, οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου, τῆς δικαίας καὶ ἀγαθῆς.

(1) Ἑτέρα εὐχὴ τοῦ καταπετάσματος.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων σου, ἣν ἐνεκαίνισας ἡμῖν, ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς τοῦ Χριστοῦ σου· καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκηνώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ καταπετάσματος, καὶ τὰ ἅγια τῶν ἁγίων κατοπτεῦσαι, προσπίπτομεν τῇ σῇ ἀγαθότητι· Δέσποτα, ἐλέησαι ἡμᾶς, ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἐξαπόστειλον, ὁ Θεός, τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα· καὶ ἀλλοίωσον ἡμῶν τὰ φρονήματα πρὸς εὐσέ-

PARIS MANUSCRIPT 476.

ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ✠ καὶ εἰς ἀνάπαυσιν τῶν προκεκοιμημένων ψυχῶν· ἵνα καὶ ἡμεῖς, οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν ἐνώπιόν σου χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου, τῆς δικαίας καὶ ἀγαθῆς·

Ἐκφώνησις. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. Στῶμεν καλῶς· στῶμεν εὐλαβῶς· στῶμεν μετὰ φόβου.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ καταπετάσματος κλινόμενος εὔχεται.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων, τῷ αἵματι τοῦ Χριστοῦ σου Ἰησοῦ, ἣν ἐνεκαίνισας ἡμῖν, ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ·

[*Vacat codex.*]

(1) P. omits ἑτέρα.

ROTULUS MESSANENSIS.

τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν.

Εἶτα ὁ διάκονος.

Καὶ ὑπὲρ τῶν προκειμένων, ἁγίων, ἐν-
(1) *δόξων, ἐπουρανίων, θείων δώρων, καὶ σωτη-*
(2) *ρίας τοῦ παρεστῶτος καὶ προσφέροντος τοῦ*
(3) *Δ΄. ἡμῶν ἱκετεύσωμεν.*

Ὁ λαός. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς ἐκφώνως.

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ σου [Υἱοῦ], μεθ᾽ οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

(4) Εἰρήνη πᾶσιν.

Στῶμεν καλῶς· στῶμεν εὐλαβῶς· στῶμεν μετὰ φόβου Θεοῦ καὶ κατανύξεως· πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, ἐν εἰρήνῃ τῷ Θεῷ προσφέρειν.

(5) *Ὁ λαός.* Ἔλεος.

Ἀγαθὲ καὶ φιλάνθρωπε Δέσποτα, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος καταξιώσας με τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον σου δοῦλον παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν, καὶ λειτουργεῖν τοῖς καινοῖς καὶ ἀχράντοις τῆς διαθήκης σου μυστηρίοις,

CODEX ROSSANENSIS.

καθαρῷ τῷ συνειδότι προσφέρωμέν σοι ἔλεον, εἰρήνην, θυσίαν αἰνέσεως·

Ἐκφώνως. *Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καί.*

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. *Στῶμεν καλῶς· στῶμεν εὐλαβῶς· στῶμεν μετὰ φόβου Θεοῦ καὶ κατανύξεως· πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, ἐν εἰρήνῃ τῷ Θεῷ προσφέρειν,*

Ὁ λαός. *Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.* sic

Καὶ ὅταν λέγει ὁ διάκονος τοῦτο, λέγει ὁ ἱερεύς.

Καὶ τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδειξον, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ ἀπεριλήπτου σου φωτὸς ἀποπλήρωσον, καὶ καθάρας τὴν [80]

ἄλλη εὐχή. *Ἅγιε, ὕψιστε, φοβερέ, καὶ ἐν ἁγίοις ἀναπαυόμενε, Κύριε, αὐτὸς ἁγίασον ἡμᾶς καὶ ἀξίους ποίησον ἡμᾶς τῆς ἁγίας θυσίας ταύτης, καὶ προσάγαγε ἡμᾶς τῷ ἁγίῳ σου θυσιαστηρίῳ μετὰ πάσης συνειδήσεως ἀγαθῆς, σοὶ τὰ σὰ προσφέρειν, δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας, ἐνώπιον τῆς ἁγίας δόξης σου, διὰ παντός, ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ σοὶ δόξα.*

(1) *ἀρρήτων, φοβερῶν, φρικτῶν, ἀθανάτων, ζωοποιῶν, θείων* added in the margin after *θείων*.

(2) *καὶ ἀντιλήψεως* interlined after *σωτηρ*.

(3) *τιμίου πατρὸς ἡμῶν καὶ ἀρχιερέως, τοῦ προσευχομένου, Κύριον τὸν Θεὸν [ἱκετεύσωμεν]* interposed after Δ΄., partly on an erasure.

(4) *ὁ ἀρχιδιάκονος* in the margin.

(5) Here in margin: *καὶ ὁ ἱερεὺς εὔχεται.*

PARIS MANUSCRIPT 2509.

βειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως·

Ἐκφώνησις. *Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί.*

Ὁ λαός. *Ἀμήν.*

1 *Ὁ ἱερεύς.* Εἰρήνη *πᾶσιν.*

Ὁ ἀρχιδιάκονος. *Στῶμεν καλῶς· στῶμεν εὐλαβῶς· στῶμεν μετὰ φόβου Θεοῦ καὶ κατανύξεως· πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, [ἐν] εἰρήνῃ τῷ Θεῷ προσφέρειν·*

Ὁ λαός. *Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.*

Εἶτα ὁ ἱερεὺς ἐπιφέρει τὴν εὐχὴν ταύτην.

Καὶ *τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδειξον, καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ ἀπεριλήπτου φωτὸς πλήρωσον, καὶ καθάρας*

PARIS MANUSCRIPT 476.

[*Vacat codex.*]

...περιλήπτου σου φωτὸς ἀποπλήρωσον, καὶ καθάρας τὴν πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος, ἀξίαν ἀπέργασαι τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἄλλη ἥτις συνάπτεται ταύτῃ.

Ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλπίδος καὶ ἐλλάμψεως τοῦ παναγίου Πνεύματος καταξιώσας με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν καὶ λειτουργεῖν τοῖς καινοῖς καὶ ἀχράντοις τῆς διαθήκης σου μυστηρίοις,

(1) In marg. sup. cod. hæc legitur rubrica *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ αἱ ἐκφωνήσεις αὗται καὶ αἱ ἀποκρίσεις. Ζήτει κ. θ'.* (pp. 127, 159?)

P. has *ὁ διάκονος.*

ROTULUS MESSANENSIS.

ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἀξίωσόν με ἐν καθαρῷ συνειδότι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

(1) **Ἐκφώνως.** Ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ χάρις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ παναγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

(2) Ὁ *ἱερεύς.* Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὰς

(3) καρδίας.

(4) Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ *λαός.* Ἄξιον καὶ δίκαιον.

(5) Καὶ *ὁ ἱερεὺς τὴν εὐχήν.*

Ὡς ἀληθῶς ἄξιόν ἐστιν καὶ δίκαιον, πρέπον τε καὶ ἐποφειλόμενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, σοὶ εὐχαριστεῖν, τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ

CODEX ROSSANENSIS.

πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀξίαν ἀπέργασαι τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ὁ *ἱερεὺς ἐκφώνως.*

Ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ χάρις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ παναγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

Ὁ *λαός.* Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ *ἱερεύς.* Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὰς καρδίας.

Ὁ *λαός.* Ἔχωμεν πρὸς τὸν Κύριον. [80 b]

Ὁ *ἱερεύς.* Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ *λαός.* Ἄξιον καὶ δίκαιον.

Ὁ *ἱερεὺς κλινόμενος ἐπεύχεται,*

Ὡς ἀληθῶς ἄξιόν ἐστιν καὶ δίκαιον, πρέπον τε καὶ ὀφειλόμενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, σοὶ εὐχαριστεῖν, τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ τῆς ζωῆς καὶ τῆς

(1) Theodoret (Letter 146, "Joann. Œconomo") states of the greeting of S. Paul (2 Cor. xiii. 15) *τοῦτο πάσαις ταῖς ἐκκλησίαις τῆς μυστικῆς ἐστι λειτουργίας προοίμιον*, with especial reference to the position of the Saviour's Name in the greeting. It will be observed that the order of Names is altered here.

(2) These were the words used in the time of Chrysostom. See his ninth Homily, De Pœnitentia, tom. xi. p. 349 (M. ii. 345): *Τί ποιεῖς, ἄνθρωπε; οὐχ ὑπέσχου τῷ ἱερεῖ εἰπόντι, Ἄνω σχῶμεν ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας, καὶ εἶπας, Ἔχομεν πρὸς τὸν Κύριον; Οὐ φοβῇ, οὐκ ἐρυθριᾷς κατ' αὐτὴν τὴν φοβερὰν ὥραν ψεύστης εὑρισκόμενος;*—This is the only Liturgy in which these words occur.

(3) Or *τὴν καρδίαν.*

(4) *ὁ ἱερεὺς* in the margin.

(5) *κλίνας λέγει* in the margin.

ROTULUS MESSANENSIS.

τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τῷ πάντων
Θεῷ καὶ Δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ
τῶν οὐρανῶν, καὶ πᾶσαι αἱ δυνάμεις αὐτῶν·
(1) ἥλιος καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων
χορός· γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν
αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος, πανή-
γυρις ἐκλεκτῶν, ἐκκλησία πρωτοτόκων ἀπο-
γεγραμμένων ἐν τοῖς οὐρανοῖς· πνεύματα
δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων
καὶ ἀποστόλων· ἄγγελοι, ἀρχάγγελοι, θρό-
(2) νοι, κυριότητες, ἀρχαὶ καὶ ἐξουσίαι, δυνά-
μεις φοβεραί· τὰ πολυόμματα χερουβὶμ
καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ ταῖς μὲν
δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα
ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς
δυσὶν ἱπτάμενα κέκραγεν ἕτερον πρὸς τὸ
(3) ἕτερον ἀκαταπαύστοις χείλεσιν, ἀσιγήτοις
θεολογίαις,

Ἐκφώνησις. Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα,

(4) Ὁ *λαός.* Ἅγιος, ἅγιος, ἅγιος.

(5) *Ὁ ἱερεὺς σφραγίζων τὰ δῶρα γ′ λέγει,*

(1) τε interlined after ἥλιος.

(2) τε interlined after ἀρχαί.

(3) στόμασιν in the margin (for χείλεσιν).

(4) In the margin, much abbreviated, may be discerned the following: *Κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐλθὼν καὶ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.* Chrysostom frequently refers to this; sometimes as *τὸ μυστικὸν μέλος*: sometimes as *ὁ πανάγιος ὕμνος*: sometimes as the *τρισάγιος ὕμνος*. The knowledge of it as a whole was confined to the faithful.

(5) *καθ' ἑαυτὸν ἱστάμενος* in the margin.

CODEX ROSSANENSIS.

ἀθανασίας, τῷ πάντων Θεῷ καὶ Δεσπότῃ· ὃν
ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρα-
νῶν, καὶ πᾶσαι αἱ δυνάμεις αὐτῶν· ἥλιός τε
καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων χορός·
γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱε-
ρουσαλὴμ ἡ ἐπουράνιος, πανήγυρις ἐκλεκτῶν,
ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν
οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν·
ψυχαὶ μαρτύρων καὶ ἀποστόλων· ἄγγελοι, [81]
ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε
καὶ ἐξουσίαι, καὶ δυνάμεις φοβεραί· χερου-
βὶμ τὰ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα
σεραφίμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατα-
καλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ
τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα κέκραγεν
ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στό-
μασιν, ἀσιγήτοις θεολογίαις,

Ἐκφώνως. Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα,

Ὁ *λαός.* ἍΓΙΟϹ, ἍΓΙΟϹ, ἍΓΙΟϹ, ΚΎΡΙΟϹ ϹΑΒΑΏΘ· ΠΛΉΡΗϹ Ὁ ΟΥ̓ΡΑΝῸϹ ΚΑῚ Ἡ ΓΗ͂ ΤΗ͂Ϲ ΔΌΞΗϹ ϹΟΥ· ὩϹΑΝΝᾺ ἘΝ ΤΟΙ͂Ϲ ὙΨΊϹΤΟΙϹ. ΕΥ̓ΛΟΓΗΜΈΝΟϹ Ὁ ἘΛΘῺΝ ΚΑῚ ἘΡΧΌΜΕΝΟϹ ἘΝ ὈΝΌΜΑΤΙ ΚΥΡΊΟΥ· ὩϹΑΝΝᾺ ἘΝ ΤΟΙ͂Ϲ ὙΨΊϹΤΟΙϹ.

Καὶ ὁ ἱερεὺς ἱστάμενος σφραγίζει τὰ δῶρα, λέγων καθ' ἑαυτόν,

PARIS MANUSCRIPT 2509.

τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τῷ πάντων
(1) Θεῷ καὶ Δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οὐρανοὶ τῶν οὐρανῶν, καὶ πᾶσα ἡ δύναμις αὐτῶν· ἥλιός τε καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων χορός· γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος πανήγυρις, ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων καὶ ἀπο-
8 R στόλων· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι, καὶ δυνάμεις
(2) φοβεραί· χερουβὶμ τὰ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα
(3) κέκραγεν ἕτερος πρὸς τὸν ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

8 R *Ἐκφώνησις.* Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα,
(4) καὶ λέγοντα,

8 R *Ὁ λαός.* Ἅγιος, ἅγιος, ἅγιος, Κύριε σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

(5) *Ὁ ἱερεὺς σφραγίζων τὰ δῶρα λέγει,*

PARIS MANUSCRIPT 476.

καὶ τῷ πάντων Θεῷ καὶ Δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ πᾶσαι αἱ δυνάμεις αὐτῶν· ἥλιός τε καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἀστέρων χορός· [γῆ] θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος, πανήγυρις ἐκλεκτῶν, ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων καὶ ἀποστόλων· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι καὶ δυνάμεις φοβεραί· χερουβὶμ τὰ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, καὶ στόμασιν κέκραγεν ἕτερον πρὸς ἕτερον ἀκαταπαύστοις καὶ ἀσιγήτοις θεολογίαις,

Ἐκφώνησις. Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα,

Ὁ λαός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ.

Καὶ ὁ ἱερεὺς ἱστάμενος καθ' ἑαυτὸν σφραγίζει τὰ δῶρα, λέγων ἡσυχῶς,

(1) P. omits *οὐρανοὶ καί*.

(2) P. *καὶ τὰ χερουβὶμ πολυόμματα*.

(3) P. *ἕτερον πρὸς ἕτερον*.

(4) In marg. inf. cod. hæc legitur rubrica: *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ ἐκφώνησις αὕτη καὶ ἡ ἀπόκρισις, ζήτει κ. ιβ'.* [p. 80.]

(5) In marg. sup. cod. hæc legitur rubrica: *Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ εὐχὴ αὕτη συντομωτέρα, ζήτει κ. ιγ'.* [p. 80.]

ROTULUS MESSANENSIS.

Ἅγιος εἶ, βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης Κύριος καὶ δωτήρ· ἅγιος καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα ἐποίησας· ἅγιον δὲ καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σοῦ, τοῦ Θεοῦ καὶ Πατρός.

Καὶ κλίνει λέγων,

Ἅγιος εἶ, παντοκράτωρ, παντοδύναμε, ἀγαθέ, φοβερέ, εὔσπλαγχνε, ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν ἐντολήν σου καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλειπες, ἀγαθέ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος Πατήρ· ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν, ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξαπέστειλας εἰς τὸν κόσ-

(2) μον, ἵνα τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἁγίας παρθένου καὶ ὄντως θεοτόκου, συναναστραφείς τε ἡμῖν τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους

CODEX ROSSANENSIS.

Ἅγιος εἶ, βασιλεῦ τῶν αἰώνων, καὶ πάσης [81 b]
ἁγιωσύνης Κύριος καὶ δοτήρ·

Ἅγιος καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα ἐποίησας·

Ἅγιον δὲ καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ἐραυνῶν τὰ πάντα, καὶ τὰ βάθη σοῦ, τοῦ Θεοῦ καὶ Πατρός.

Καὶ κλίνων λέγει,

Ἅγιος εἶ, παντοκράτωρ, παντοδύναμε, φοβερέ, ἀγαθέ, εὔσπλαγχνε, ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ χαρισάμενος αὐτῷ τὴν τοῦ
παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν (a)
ἐντολήν σου καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθέ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος Πατήρ· ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν, ὕστερον δὲ αὐτὸν
τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν [82]
Ἰησοῦν Χριστόν, ἐξαποστείλας εἰς τὸν κόσ- *sic*
μον, ἵνα αὐτὸς ἐλθὼν τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου, συναναστραφείς τε τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους

(1) Crosses have been added as in Paris Supp. 476.

(2) *αὐτὸς ἐλθὼν* in the margin (after *ἵνα*).

(*a*) It would appear from the following passage that the address in the time of Chrysostom contained a similar thanksgiving for God's love to fallen man. Hom. xxiv. on 1 Cor. tom. x. 212: *Εὐλογίαν ὅταν εἴπω, πάντα ἀναπτύσσω τὸν τῆς εὐεργεσίας τοῦ Θεοῦ θησαυρόν, καὶ τῶν μεγάλων ἐκείνων ἀναμιμνήσκω δωρεῶν.* Καὶ *γὰρ καὶ ἡμεῖς ἐπιλέγοντες τῷ ποτηρίῳ τὰς ἀφάτους εὐεργεσίας τοῦ Θεοῦ, καὶ ὅσων ἀπολελαύκαμεν, οὕτως αὐτὸ προσάγομεν καὶ κοινωνοῦμεν, εὐχαριστοῦντες ὅτι τῆς πλάνης ἀπήλλαξε τὸ τῶν ἀνθρώπων γένος· ὅτι μακρὰν ὄντας ἐγγὺς ἐποίησεν· ὅτι ἐλπίδα μὴ ἔχοντας καὶ ἀθέους ἐν τῷ κόσμῳ ἀδελφοὺς*

PARIS MANUSCRIPT 2509.

S R S A *Ἅγιος εἶ, βασιλεῦ τῶν αἰώνων καὶ πά-*
σης ἁγιωσύνης Κύριος καὶ δοτήρ. Ἅγιος
καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα ἐποίησας.
(1) P. 23 *Ἅγιον δὲ καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον,*
τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σοῦ τοῦ
Θεοῦ. Ἅγιος εἶ, παντοκράτωρ, παντοδύναμε,
ἀγαθέ, φοβερέ, εὔσπλαγχνε, ὁ συμπαθὴς
μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας
ἀπὸ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ
ὁμοίωσιν· ὁ χαρισάμενος αὐτῷ τὴν τοῦ
παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν
ἐντολήν σου καὶ ἐκπεσόντα, τοῦτον οὐ
παρεῖδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθέ, ἀλλ'
ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος Πατήρ·
ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας
αὐτὸν διὰ τῶν προφητῶν, ὕστερον δὲ αὐτὸν
τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν
(2) *Ἰησοῦν Χριστόν, ἐξαποστείλας εἰς τὸν κόσ-*
μον, ἵνα ἐλθὼν τὴν σὴν ἀνανεώσῃ καὶ ἀνε-
γείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν
καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μα-
S R *ρίας τῆς παρθένου καὶ θεοτόκου, συνανα-*
στραφείς τε τοῖς ἀνθρώποις, πάντα ᾠκονόμη-
(3) *σε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν. Μέλλων*

PARIS MANUSCRIPT 476.

Ἅγιος εἶ, βασιλεῦ τῶν αἰώνων καὶ πάσης ἁγιωσύνης Κύριος καὶ δοτήρ. ✠ *Ἅγιος καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα ἐποίησας.* ✠ *Ἅγιον δὲ καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σοῦ τοῦ Θεοῦ καὶ Πατρός.* ✠

Καὶ κλίνων ὁ ἱερεὺς λέγει τὴν εὐχήν,

Ἅγιος εἶ καὶ παντοκράτωρ καὶ παντοδύναμος, φοβερός, ἀγαθός, εὔσπλαγχνος, ἐλεήμων καὶ ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν ἐντολήν σου καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθέ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος Πατήρ· ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν, ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξαπέστειλας εἰς τὸν κόσμον, ἵνα αὐτὸς ἐλθὼν τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου, συναναστραφείς τε ἡμῖν τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν.

ἑαυτοῦ κατεσκεύασε καὶ συγκληρονόμους. Ὑπὲρ τούτων καὶ τῶν τοιούτων ἁπάντων εὐχαριστοῦντες οὕτω πρόσιμεν. Εὐλογία is the blessing of the eucharistic elements.

(1) P. *Πνεῦμά σου τὸ ἅγιον.*

(2) P. *ἐξαποστείλας.*

(3) In marg. inf. cod. hæc legitur rubrica: *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ τὰ μέρη ταῦτα καὶ αἱ ἐκφωνήσεις καὶ ἀποκρίσεις ὁλοτελεῖς. ζήτει κ. ιδ'.* [p. 81.]

ROTULUS MESSANENSIS.

(1) ἡμῶν. Μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον, ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν
(2) παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς,

(3) *Καὶ λαβὼν τὸν ἄρτον λέγει,*

Λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, καὶ εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ κλάσας, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

(4) Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

(5) *Καὶ λαβὼν τὸ ποτήριον λέγει,*

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν
(6) ποτήριον κεκραμένον ἐξ οἴνου καὶ ὕδατος, ✠ ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, καὶ εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ πλήσας πνεύματος ἁγίου, μετέδωκεν τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

CODEX ROSSANENSIS.

ἡμῶν. Μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον, ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας,

Εἶτα ἀνιστάμενος καὶ τὸν ἄρτον κρατήσας, λέγει σφραγίζων,

Λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, μετέδωκε τοῖς [82 b]
ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Καὶ λέγουσιν οἱ διάκονοι,

Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Καὶ τιθεὶς τὸν ἄρτον ἐκφωνεῖ ἱστάμενος,

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Εἶτα τὸ ποτήριον λαβὼν λέγει καθ' ἑαυτόν,

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, ἀτενίσας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, καὶ ἐπ' αὐτῷ εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, πλήσας πνεύματος ἁγίου, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

(1) *τριήμερον* interlined after *ζωοποιόν*.
(2) *καὶ σωτηρίας* added in the margin.
(3) In the margin *καὶ ἀνιστάμενος* is prefixed.
(4) *ἐκφώνως* in the margin.
(5) *σφραγίζων* interlined; *εἶτα* prefixed.
(6) *καὶ ἀτενίσας* in the margin.

PARIS MANUSCRIPT 2509.

S A δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον, ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας,

Εἶτα ὁ ἱερεύς, τῇ χειρὶ τὸν ἄρτον κατασχών, λέγει,

S R S A Λαβὼν τὸν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, εὐχα-
(1) ριστήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς
(2) S A ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Λέγουσιν οἱ διάκονοι, Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

S R *Εἶτα ἐκφωνεῖ·* Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώ-
P. 24 μενον καὶ διδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

(3) *Εἶτα λαμβάνει τὸ ποτήριον, καὶ λέγει καθ' ἑαυτόν,*

S R Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν τὸ ποτήριον καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, ἁγιάσας, εὐλογήσας, πλήσας πνεύματος
(4) ἁγίου, ἔδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς, εἰπών· Πίετε ἐξ αὐτοῦ

PARIS MANUSCRIPT 476.

Μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον, ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας,

Εἶτα ἀνιστάμενος καὶ τὸν ἄρτον κρατήσας σφραγίζει, λέγων μυστικῶς συναπτόμενος,

Λαβὼν τὸν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ κλάσας, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Ἐκφώνησις. Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ✠

Ὁ λαὸς τὸ Ἀμήν.

Καὶ σφραγίσας, τιθεὶς τὸν ἄρτον, εἶτα λαβὼν τὸ ποτήριον λέγει καθ' ἑαυτόν,

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον κεκραμένον ἐξ οἴνου καὶ ὕδατος, ἀτενίσας εἰς τὸν οὐρανόν, καὶ ἀναδείξας σοί, τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, ✠ εὐλογήσας, ✠ ἁγιάσας, ✠ πλήσας πνεύματος ἁγίου, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Καὶ τιθεὶς αὐτὸ ἐκφωνεῖ μεγαλοφώνως,

(1) P. has *ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς.*

(2) The words of Institution were certainly used in the time of Chrysostom. Hom. II. on 2 Tim. (XI. p. 671), *τὰ ῥήματα, ἅπερ ὁ Θεὸς ἐφθέγξατο, τὰ αὐτά ἐστιν ἅπερ ὁ ἱερεὺς καὶ νῦν λέγει.*

(3) P. omits *καθ' ἑαυτόν.*

(4) P. again has *ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς.*

ROTULUS MESSANENSIS.

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ
(1) διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις
(2) οὗ ἔλθῃ.

Καὶ σφραγίζων πάλιν, κλίνει, λέγων,

(3) Μεμνημένοι τοίνυν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἐλάχιστοι τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ τε σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου αὐτοῦ ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ, τοῦ Θεοῦ καὶ Πατρός, καθέδρας, καὶ τῆς δευτέρας καὶ ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι
(4) ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,

(5) Φεῖσαι ἡμῶν, Κύριε, ὁ Θεὸς ἡμῶν.

μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'

(1) *καὶ ὁ ἱερεὺς καθ' ἑαυτὸν ἱστάμενος λέγει* added in the margin.

(2) In the margin *Μυστικῶς. Ὁ διάκονος. Πιστεύομεν καὶ ὁμολογοῦμεν καὶ δοξάζομεν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ζῶντα.*

(3) *οὖν* in the margin (for *τοίνυν*).

(4) *ἀποδοῦναι* altered to *ἀποδιδόναι*.

(5) *λέγει γ'.* in the margin.

CODEX ROSSANENSIS.

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ [83]
διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Εἶτα λέγει ὁ ἱερεὺς καθ' ἑαυτὸν ἱστάμενος,

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· (a)
ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ
ἂν ἔλθῃ. (b)

Εἶτα σφραγίζει καὶ κλίνων λέγει ἐπευχόμενος,

Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ, τοῦ Θεοῦ καὶ Πατρός, καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἑκάστῳ ἀποδιδόναι κατὰ τὰ ἔργα αὐτοῦ,

Φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν. γ'.

μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'

(a) Compare Chrysostom Hom. XVII. on E[illegible] to the Hebrews, tom. XII. p. 168; *προσφέρομ[illegible]μέν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτ[illegible]*

(b) In the margin of the Rossano MS. bu[illegible] a much later hand and mutilated are the w[illegible] *ὁ λαός. πιστεύομεν καὶ ὁμολογοῦμεν τ[illegible] κύριε... σαρ... αστασιν.*

ROTULUS MESSANENSIS.

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ
(1) διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις
(2) οὗ ἔλθῃ.

Καὶ σφραγίζων πάλιν, κλίνει, λέγων,

(3) Μεμνημένοι τοίνυν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἐλάχιστοι τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ τε σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου αὐτοῦ ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ, τοῦ Θεοῦ καὶ Πατρός, καθέδρας, καὶ τῆς δευτέρας καὶ ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι
(4) ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,

(5) Φεῖσαι ἡμῶν, Κύριε, ὁ Θεὸς ἡμῶν.

μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'

(1) *καὶ ὁ ἱερεὺς καθ' ἑαυτὸν ἱστάμενος λέγει* added in the margin.

(2) In the margin Μυστικῶς. *Ὁ διάκονος. Πιστεύομεν καὶ ὁμολογοῦμεν καὶ δοξάζομεν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ζῶντα.*

(3) *οὖν* in the margin (for *τοίνυν*).

(4) *ἀποδοῦναι* altered to *ἀποδιδόναι.*

(5) *λέγει γ'.* in the margin.

CODEX ROSSANENSIS.

Ἐκφώνως. Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης,
τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ [83]
διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Εἶτα λέγει ὁ ἱερεὺς καθ' ἑαυτὸν ἱστάμενος,

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· (a)
ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ
ἂν ἔλθῃ. (b)

Εἶτα σφραγίζει καὶ κλίνων λέγει ἐπευχόμενος,

Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ, τοῦ Θεοῦ καὶ Πατρός, καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἑκάστῳ ἀποδιδόναι κατὰ τὰ ἔργα αὐτοῦ,

Φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν. γ'. [83]

μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'

(*a*) Compare Chrysostom Hom. XVII. on Ep. to the Hebrews, tom. XII. p. 168; *προσφέρομεν μέν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ.*

(*b*) In the margin of the Rossano MS. but in a much later hand and mutilated are the words *ὁ λαός. πιστεύομεν καὶ ὁμολογοῦμεν τὴν σ*[illegible] *κύριε... σαρ... αστασιν.*

PARIS MANUSCRIPT 2509.

*πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς
καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν
ἐκχεόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν*
(1) *ἁμαρτιῶν.*

Ὁ λαός. Ἀμήν.

SR Ὁ *ἱερεύς.* Τοῦτο *ποιεῖτε εἰς τὴν ἐμὴν
ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρ-
τον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε,
τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγ-
γέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολο-
γεῖτε, ἄχρις οὗ ἔλθῃ.*

Λέγουσιν οἱ διάκονοι,

Πιστεύομεν *καὶ ὁμολογοῦμεν.*

SR SA Ὁ λαός. Τὸν *θάνατόν σου,* Κύριε, *καταγ-
γέλλομεν, καὶ τὴν ἀνάστασίν σου ὁμολο-
γοῦμεν.*

(2) Ὁ *ἱερεὺς ἐπισυνάπτει εὐχήν.*

Μεμνημένοι *οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ
τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτη-*
(3) *ρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς
ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀνα-
στάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ*
P. 25 *τῆς ἐκ δεξιῶν σοῦ, τοῦ* Θεοῦ *καὶ* Πατρός, *
καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φο-
βερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ
δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ
ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,*
(4) Φεῖσαι *ἡμῶν,* Κύριε *ὁ* Θεὸς *ἡμῶν.*
μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ,
SR SA *προσφέρομέν σοι,* Δέσποτα, *τὴν φοβερὰν
ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα
μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'*

PARIS MANUSCRIPT 476.

Πίετε *ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.*

Ὁ λαός. Ἀμήν.

Εἶτα λέγει καθ' ἑαυτὸν ἱστάμενος.

Τοῦτο *ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ ἂν ἔλθῃ.*

Εἶτα σφραγίζει ✠ καὶ κλίνων λέγει,

Μεμνημένοι *οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, καὶ τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σοῦ, τοῦ* Θεοῦ *καὶ* Πατρός, *καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, ὅταν μέλλῃ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,*

Λέγει τοῦτο γ'. Φεῖσαι *ἡμῶν,* Κύριε *ὁ* Θεὸς *ἡμῶν.*

μᾶλλον δὲ κατὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, *τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ'*

(1) In marg. sup. cod. hæc legitur rubrica: *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ αἱ ἐκφωνήσεις αὗται καὶ αἱ ἀποκρίσεις, ζήτει κ. ιε'.* [p. 82.]

(2) *Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ εὐχὴ αὕτη, ζήτει κ. ιϛ'.* [p. 82.] (P. has simply *ὁ ἱερεύς.*)

(3) P. omits *καὶ τῆς ταφῆς.*

(4) P. omits *φεῖσαι*... down to *εὐσπλαγχνίαν αὐτοῦ.*

ROTULUS MESSANENSIS.

(1) ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν, ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατόν σου φιλανθρωπίαν καὶ ἀγαθότητα ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν τῶν ἁμαρτημάτων χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ οὐράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ
(2) εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσίν σε διὰ τὴν σὴν εὐσπλαγχνίαν· καὶ μὴ δι' ἐμὲ καὶ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὴν δέησιν τοῦ λαοῦ σου, φι-
(3) λάνθρωπε Κύριε, μηδὲ ἀποστραφείην σὺν αὐτοῖς τεταπεινωμένος, κατῃσχυμμένος.

Ἐκφώνως.

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύει σε,

(4) *Ὁ λαός.* Ἐλέησον ἡμᾶς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Πατήρ, ὁ παντοκράτωρ.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα τὸ Πνεῦμά σου τὸ πανάγιον, ✠ τὸ Κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ μονογενεῖ σου Υἱῷ, τὸ συμβασιλεῦον, τὸ συναΐδιον καὶ ὁμοούσιον, τὸ

(1) Κύριε, *Κύριε τῶν δυνάμεων* in the margin after *μεθ' ἡμῶν*.

(2) In the margin *ἴδεν*.

(3) Κύριε *τῶν δυνάμεων* interlined after Κύριε.

CODEX ROSSANENSIS.

ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν, ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατον φιλανθρωπίαν ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ οὐράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσί σε· καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαόν σου, φιλάνθρωπε Κύριε, μηδὲ ἀποστραφείην σὺν αὐτοῖς, τεταπεινωμένος, κατῃσχυμμένος· ἀλλ' ἵλεως γενοῦ μοι τῷ ἀχρείῳ δούλῳ σου.

Ἐκφώνως. Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλη- [84]
σία σου ἱκετεύει σε,

Ὁ λαός. Ἐλέησον ἡμᾶς, Κύριε ὁ Θεός, ὁ Πατήρ, ὁ παντοκράτωρ. γ'.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος λέγει καθ' ἑαυτόν,

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ παντοκράτωρ.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα τὸ Πνεῦμά σου τὸ πανάγιον,

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεὺς κλίνων ἐπεύχεται.

Τὸ Κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ μονογενεῖ σου Υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν τε καὶ

(4) In the margin Ὁ *Θεός, ὁ πατήρ, ὁ παντοκράτωρ*. Then in the margin again *καὶ ὁ ἱερεὺς σφραγίζει ἱστάμενος τὰ δῶρα λέγων*.

PARIS MANUSCRIPT 2509.

ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν, ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατόν σου φιλανθρωπίαν ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ ἐπουράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσί σε· καὶ μὴ δι' ἐμὲ καὶ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαόν, φιλάνθρωπε Κύριε.

Εἶτα λέγει ὁ ἱερεὺς ἐκ τρίτου·

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου
(1) ἱκετεύει σε,

Ὁ λαός. Ἐλέησον ἡμᾶς, Κύριε ὁ Θεός, ὁ Πατήρ, ὁ παντοκράτωρ.

Πάλιν λέγει ὁ ἱερεύς,

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ παντοκράτωρ.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν.

8 R 8 A Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα τὸ Πνεῦμά σου τὸ πανάγιον,

Εἶτα κλίνας τὸν αὐχένα λέγει,

Τὸ Κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ μονογενεῖ σου Υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν

PARIS MANUSCRIPT 476.

ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν, ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατόν φιλανθρωπίαν ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ οὐράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ἡ σὴ ἀγαθότης τοῖς ἀγαπῶσί σε· καὶ μὴ δι' ἐμὲ καὶ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαόν σου, φιλάνθρωπε Κύριε, Κύριε τῶν δυνάμεων,

Λέγε τοῦτο ἐκ τρίτου, ὦ θύτα·

Μηδὲ ἀποστραφῶ τεταπεινωμένος καὶ κατῃσχυμμένος.

Λέγε καὶ τοῦτο τρίς, ὦ ἱερεῦ. Ἐκφώνησις.

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύει σε,

Ὁ λαὸς ἅπας λέγει,

Ἐλέησον ἡμᾶς, ὁ Θεός.

Καὶ ὁ ἱερεὺς ἱστάμενος λέγει καθ' ἑαυτὸν σφραγίζων,

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Πατήρ, ὁ παντοκράτωρ. ✠

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν. ✠

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος, ✠ καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ✠ τὸ Πνεῦμά σου τὸ πανάγιον, ✠

Καὶ κλίνων λέγει,

Τὸ Κύριον καὶ ζωοποιόν, τὸ σύνθρονον σοὶ τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ μονογενεῖ σου Υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν

(1) P. has *ἱκετεύουσί σε.*

ROTULUS MESSANENSIS.

λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν
(1) ἐπ' αὐτόν, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν ἐν τῇ ἡμέρᾳ τῆς ἁγίας πεντηκοστῆς· αὐτὸ τὸ
(a) Πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, Δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα,

Ἐκφώνως. Ἵνα ἐπιφοιτῆσαν, τῇ ἁγίᾳ καὶ
(2) ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σῶμα ἅγιον τοῦ Χριστοῦ,

Ὁ λαός. Ἀμήν.

Καὶ προσχὼν τῷ ποτηρίῳ ἐκφωνεῖ, Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον Χριστοῦ·

(3) *Ὁ λαός.* Ἀμήν.

Ἵνα γένωνται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν, εἰς στηριγμὸν τῆς σῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἣν ἐθεμελίωσας

(1) Altered (apparently) to *μαθητὰς καὶ ἀπ.*

(2) The MS. has *ἁγιάσει, ποιήσει.*

(3) *καὶ ὁ ἱερεὺς ἱστάμενος καὶ σφραγίζων + λέγει καθ' ἑαυτὸν* in the margin.

(*a*) Chrysostom describes the attitude of the priest and the silence of the Church. Hom.

CODEX ROSSANENSIS.

συναΐδιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν ἐπ' αὐτόν, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων [84
γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν ἐν τῇ ἡμέρᾳ τῆς ἁγίας πεντηκοστῆς·

Καὶ ἀνιστάμενος λέγει καθ' ἑαυτόν,

Αὐτὸ Πνεῦμά σου τὸ πανάγιον κατά- (a
πεμψον, Δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα,

Ἵνα ἐπιφοιτῆσαν, τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σῶμα ἅγιον Χριστοῦ,

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον Χριστοῦ·

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἱστάμενος, σφραγίζων τὰ δῶρα, λέγει καθ' ἑαυτόν,

Ἵνα γένωνται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον,

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεύς.

Εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, Ἀμήν.

Εἰς καρποφορίαν ἔργων ἀγαθῶν, Ἀμήν.

Εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆ καὶ ἀποστολικῆς ἐκκλησίας, ἣν ἐθεμελίωσα

"in Cœmeterii appellationem," tom. II. p. 40 *Ὅταν ἑστήκῃ πρὸ τῆς τραπέζης ὁ ἱερεύς, τὰς χεῖ ἀνατείνων εἰς τὸν οὐρανόν, καλῶν τὸ Πνεῦμα ἅγιον τοῦ παραγενέσθαι καὶ ἅψασθαι τῶν πρ μένων, πολλὴ ἡσυχία, πολλὴ σιγή.*

PARIS MANUSCRIPT 2509.

τε καὶ συναΐδιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν ἐπ' αὐτόν, τὸ καταβὰν
(1) ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας
(2) P. 26 καὶ ἐνδόξου Σιὼν ἐν τῇ ἡμέρᾳ τῆς ἁγίας πεντηκοστῆς·

(3) *Καὶ ἀνιστάμενος λέγει καθ' ἑαυτόν,*

(a) Αὐτὸ τὸ Πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, Δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα,

(4) S R S A *Ἐκφώνησις.* Ἵνα ἐπιφοιτῆσαν, τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον
(5) σῶμα ἅγιον Χριστοῦ,

Ὁ λαός. Ἀμήν.

(6) *Ὁ ἱερεὺς ἐκφωνεῖ,* Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον Χριστοῦ·

Ὁ λαός. Ἀμήν.

Εἶτα λέγει καθ' ἑαυτόν, ἱστάμενος,

S R S A Ἵνα γένηται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν,
(7) εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἣν ἐθεμελίωσας ἐπὶ

(1) P. reads ἐπὶ τοὺς ἀπ. σου.
(2) P. omits ἁγίας.
(3) P. omits this direction here.
(4) P. καὶ ἀνιστάμενος ἐκφωνεῖ.
(5) In marg. sup. cod. hæc legitur rubrica:

PARIS MANUSCRIPT 476.

τε καὶ συναΐδιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν ἐπ' αὐτόν, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν ἐν τῇ ἡμέρᾳ τῆς ἁγίας σου πεντηκοστῆς·

Καὶ ἀνιστάμενος λέγει καθ' ἑαυτόν, σφραγίζων,

Αὐτὸ τὸ Πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, Δέσποτα, ἐφ' ἡμᾶς ✠ καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα, ✠ (a)

Ἐκφώνησις. Ἵνα ἐπιφοιτῆσαν, τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σῶμα ἅγιον Χριστοῦ, ✠

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνεῖ,

Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον Χριστοῦ· ✠

Ὁ λαός. Ἀμήν.

Εἶτα ἀνιστάμενος ὁ ἱερεὺς λέγει καθ' ἑαυτὸν ἡσύχως,

Ἵνα γένωνται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, ✠ εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, ✠ εἰς καρποφορίαν ἔργων ἀγαθῶν, ✠ εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ✠✠✠

Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ αἱ ἐκφωνήσεις αὗται καὶ ἀποκρίσεις, ζήτει κ. ιη'. [p. 82.] P. has τοῦ Χριστοῦ σου here and below.
(6) P. omits ἐκφωνεῖ.
(7) P. omits καὶ ἀποστολικῆς.

ROTULUS MESSANENSIS.

ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι
ᾅδου μὴ κατισχύσωσιν αὐτῆς, ἀειμενῆ καὶ
ἄσειστον καὶ ἀχείμαστον αὐτὴν διαφύλα-
(1) ξον· ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως,
καὶ ἐκ τῶν ἐπαναστάντων καὶ ἐπανισταμέ-
νων αὐτῇ ἐχθρῶν μέχρι τῆς συντελείας τοῦ
(2) αἰῶνος.

Προσφέρομέν σοι, Δέσποτα, καὶ ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· προηγουμένως ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· πλουσίως καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου Πνεύματος ἐπιχορήγησον αὐτῇ, Δέσποτα.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν αὐτῇ ἁγίων
πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ
τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν
(3) λόγον τῆς σῆς ἀληθείας, προηγουμένως τοῦ
ἁγίου πατρὸς ἡμῶν, τοῦ Δ'., παντὸς τοῦ
κλήρου καὶ τοῦ ἱερατείου αὐτοῦ· γῆρας αὐτῷ
τίμιον χάρισαι· μακροχρόνιον αὐτὸν διαφύ-
λαξον, ποιμαίνοντα τὸν λαόν σου ἐν πάσῃ
εὐσεβείᾳ καὶ σεμνότητι καὶ δικαιοσύνῃ.

(1) *καὶ ἡμᾶς* interlined after *αὐτήν*: and *καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν* in the margin after *αἱρέσεως*.

(2) *σφραγίζει καὶ κλίνων λέγει* in the margin.

CODEX ROSSANENSIS.

ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς· ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐκ τῶν ἐπαναστάντων καὶ ἐκ τῶν ἐπανισταμένων αὐτῇ ἐχθρῶν, διαφυλάττων ἀσινῆ καὶ ἀσκανδάλιστον μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Ὁ διάκονος. Ἀμήν.

Ὁ ἱερεὺς σφραγίζων ἐπεύχεται λέγων,

Προσφέρομέν σοι, Δέσποτα, καὶ ὑπὲρ
τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ
θεοφανείᾳ τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοι-
τήσει τοῦ παναγίου σου Πνεύματος· προη-
γουμένως ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου Σιών,
τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ ὑπὲρ
τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου
καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· [85b]
πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου
σου Πνεύματος ἐπιχορήγησον αὐτῇ, Δέσ-
ποτα. μνήσθητι, Κύριε, καὶ τῶν ἐν αὐτῇ
ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἐν
πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούν-
των τὸν λόγον τῆς σῆς ἀληθείας.

Ἐν πρώτοις μνήσθητι, Κύριε ὁ Θεὸς
ἡμῶν, τοῦ ὁσίου πατρὸς ἡμῶν τοῦ Δ', τοῦ
ἁγιωτάτου ἡμῶν πατριάρχου, ὃν χάρισαι (a)
ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον,
ὅσιον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθο-
τομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας· γῆρας
αὐτῷ τίμιον χάρισαι, μακροχρόνιον αὐτὸν
διαφύλαξον, ποιμαίνοντα τὸν λαόν σου ἐν
πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

(3) In the margin *ἄλλως. ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ πατρός.*

(*a*) In the margin are some letters which doubtless stand for *παντὸς τοῦ κλήρου καὶ τοῦ ἱερατείου αὐτοῦ.*

PARIS MANUSCRIPT 2509.

τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς· ῥυόμενος αὐτὴν ἀπὸ
(1) πάσης αἱρέσεως καὶ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν, διαφυλάττων αὐτὴν μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Καὶ ἐπικλιθεὶς λέγει,

SR SA Προσφέρομέν σοι, Δέσποτα, καὶ ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· προη-
(2) γουμένως ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν, καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας·
P. 27 πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου Πνεύματος ἐπιχορήγησον αὐτῇ, Δέσποτα.

SR SA Μνήσθητι, Κύριε, καὶ τῶν ἐν αὐτῇ ἁγίων
(3) πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.

(1) P. *καὶ τῶν ἐρ.*
(2) P. omits *ἁγίας καί.*
(3) P. reads *πατέρων καὶ ἀδελφῶν ἡμῶν.*

PARIS MANUSCRIPT 476.

Ποίησον τρὶς τὴν σφραγίδα μετὰ τῆς χειρός σου, ὦ θύτα.

Ἣν ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ✠ ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς· ✠ ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως ✠ καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν, ✠ καὶ ἐκ τῶν ἐπαναστάντων καὶ ἐπανισταμένων αὐτῇ ἐχθρῶν ✠ μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Καὶ ποίησον τρεῖς σταυρούς. ✠ ✠ ✠ *βάλλει οὖν θυμίαμα σφραγίσας καὶ λέγει,* *sic*

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί.

Καὶ προσκυνῶν τὴν ἁγίαν τράπεζαν καὶ ὑποκλίνας, λέγει τὴν εὐχήν,

Προσφέρομέν σοι, Δέσποτα, καὶ ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· προηγουμένως ὑπὲρ τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν, καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου Πνεύματος ἐπιχορήγησον αὐτῇ, Δέσποτα.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν αὐτῇ ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας. ✠ Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ὁσίου πατρὸς ἡμῶν, τοῦ πατριάρχου, παντὸς τοῦ κλήρου καὶ τοῦ ἱερατίου αὐτοῦ· γῆρας αὐτῷ τίμιον χάρισαι, μακροχρόνιον αὐτὸν διαφύλαξον ποιμαίνοντα τὸν λαόν σου ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

ROTULUS MESSANENSIS.

Μνήσθητι, Κύριε, τοῦ ἐνθάδε τιμίου πρεσβυτερίου καὶ τοῦ ἁπανταχῆ, τῆς ἐν Χριστῷ διακονίας καὶ λοιπῆς πάσης ὑπηρεσίας, παντὸς ἐκκλησιαστικοῦ ὀρθοδόξου τάγματος καὶ τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν, καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ.

Μνήσθητι, Κύριε, καὶ τῶν συμπαρισταμένων ἡμῖν ἱερέων ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἐπὶ προσενέξει τῆς ἁγίας καὶ ἀναιμάκτου σου θυσίας ταύτης· καὶ δὸς ἡμῖν καὶ αὐτοῖς λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς δόξαν καὶ ἔπαινον τοῦ παναγίου σου ὀνόματος.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ
(1) ἐλέους σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρ-
(2) τωλοῦ καὶ ἐλαχίστου δούλου σου, καὶ ἐπί-
σκεψαί με ἐν ἐλέει καὶ οἰκτιρμοῖς· καὶ ῥῦσαι
καὶ ἀθῴωσόν με ἐκ τῶν καταδιωκόντων με,
(3) Κύριε, Κύριε τῶν δυνάμεων· καὶ ἐπειδὴ
ἐπλεόνασεν ἐν ἐμοὶ ἡ ἁμαρτία, ὑπερπερίσ-
(4) σευσαί σου ἡ χάρις, δέομαι τῆς σῆς ἀγαθό-
τητος, καὶ ἔλθοι μοι τὸ μέγα σου ἔλεος.

Μνήσθητι, Κύριε, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον τὴν διακονίαν αὐτῶν διαφύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς αὐτοῖς περιποίησαι.

CODEX ROSSANENSIS.

Μνήσθητι, Κύριε, τοῦ ἐνθάδε τιμίου πρεσβυτερίου καὶ τοῦ ἁπανταχῆ, τῆς ἐν Χριστῷ διακονίας, λοιπῆς πάσης ὑπηρεσίας, [86] παντὸς ἐκκλησιαστικοῦ τάγματος καὶ τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν, καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ.

Μνήσθητι, Κύριε, τῶν συμπαρισταμένων ἡμῖν ἱερέων λειτουργῶν ἐν ταύτῃ τῇ ἁγίᾳ *sic* ὥρᾳ ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἐπὶ προσενέξει τῆς ἁγίας καὶ ἀναιμάκτου σου θυσίας· καὶ δὸς αὐτοῖς καὶ ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς δόξαν καὶ ἔπαινον τοῦ παναγίου ὀνόματός σου.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, καὶ ἐπίσκεψαί με ἐν ἐλέει καὶ οἰκτιρμοῖς· καὶ ῥῦσαι καὶ ἀθῴωσον ἐκ τῶν καταδιωκόντων με, Κύριε, Κύριε τῶν δυνάμεων, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου· καὶ ἐπειδὴ ἐπλεόνασεν ἐν ἐμοὶ ἡ ἁμαρτία, ὑπερπερισσεύσῃ σου ἡ χάρις. [86 b]

Μνήσθητι, Κύριε, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν διαφύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς αὐτοῖς περιποίησαι.

Μνήσθητι, Κύριε, τῆς ἁγίας σου τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ τῆς βασιλευούσης, καὶ τῆς μονῆς ταύτης, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει καὶ εὐλαβείᾳ κατοικούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.

(1) *καὶ τῶν οἰκτιρμῶν σου* interlined.

(2) *καὶ ἀναξίου* interlined after *ἁμαρτωλοῦ*.

(3) *καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου* in the margin after *δυνάμεων*.

(4) MS. *ὑπερπερισσεύσει, ἔλθει* (!)

PARIS MANUSCRIPT 2509.

[Chrysostom refers frequently to these commemorations. See for example Hom. XLI. on 1 Cor. tom. x. p. 392: *Οὐδὲ εἰκῆ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν πρόσιμεν, δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου, τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' ἵνα τις αὐτοῖς ἐντεῦθεν γένηται παραμυθία· οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ· Ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελούντων.*]

(1) S R S A Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου σου, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων, καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν φύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς περιποίησαι.

(2) Μνήσθητι, Κύριε, τῆς ἁγίας τοῦ Θεοῦ πόλεως καὶ τῆς βασιλευούσης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν ὀρθοδόξῳ πίστει οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας
(3) αὐτῶν.

(1) P. omits this petition.

(2) P. omits the prayer for the city of Constantinople, reading simply *Μνήσθητι, Κύριε, καὶ πασης πόλεως κ.τ.λ.*

PARIS MANUSCRIPT 476.

Μνήσθητι, Κύριε, τοῦ ἐνθάδε τιμίου πρεσβυτερίου καὶ τοῦ ἁπανταχῇ, τῆς ἐν Χριστῷ διακονίας καὶ λοιπῆς πάσης ὑπηρεσίας, παντὸς ἐκκλησιαστικοῦ τάγματος καὶ τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν, καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ.

Μνήσθητι, Κύριε, τῶν συμπαρισταμένων ἡμῖν ἱερέων ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἐπὶ προσενέξει τῆς ἁγίας καὶ ἀναιμάκτου θυσίας· καὶ δὸς αὐτοῖς καὶ ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς δόξαν καὶ ἔπαινον τοῦ παναγίου ὀνόματός σου.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἐλεεινοῦ καὶ ἀναξίου δούλου σου, καὶ ἐπίσκεψαί με ἐν ἐλέει καὶ οἰκτιρμοῖς· καὶ ῥῦσαι καὶ ἀθῴωσόν με ἐκ τῶν καταδιωκόντων με, Κύριε, Κύριε τῶν δυνάμεων· γʹ. Καὶ ἐπειδὴ ἐπλεόνασεν ἐν ἐμοὶ ἡ ἁμαρτία, ὑπερπερισσεύσῃ σου ἡ χάρις.

Λέγε τοῦτο τὸ ἐπειδὴ ἕως τέλους τρίς.

Μνήσθητι, Κύριε, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν διαφύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς αὐτοῖς περιποίησαι.

Μνήσθητι, Κύριε, τῆς ἁγίας σου τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ ταύτης τῆς βασι- (a)
λευούσης, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ὀρθοδόξως καὶ εὐλαβῶς οἰκούντων ἐν αὐταῖς, καὶ εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.

(3) In marg. inf. cod. hæc legitur rubrica: *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ τὰ μέρη ταῦτα συντομώτερα δι' ὅλης τῆς εὐχῆς, ζήτει κ. καʹ.* [p. 83.]

(a) The punctuation is uncertain.

ROTULUS MESSANENSIS.

Μνήσθητι, Κύριε, τοῦ εὐσεβεστάτου καὶ
(1) φιλοχρίστου ἡμῶν βασιλέως, παντὸς τοῦ
παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ, καὶ
(2) τῆς οὐρανόθεν βοηθείας καὶ νίκης αὐτῶν.
Ἐπιλαβοῦ ὅπλου καὶ θυραιοῦ, καὶ ἀνάστηθι
εἰς τὴν βοήθειαν αὐτοῦ· ὑπόταξον αὐτῷ πάντα
(3) τὰ πολέμια καὶ βάρβαρα ἔθνη· ῥύθμησον
αὐτοῦ τὰ βουλεύματα ἵνα ἐν τῇ γαληνό-
(4) (5) τητι αὐτῶν ἤρεμον καὶ ἡσύχιον [βίον] διά-
γωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Μνήσθητι, Κύριε, τῆς ἁγίας πόλεως καὶ
(6) τῆς βασιλευούσης πόλεως, καὶ τῆς ἁγίας
(7) μονῆς ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ
τῶν ἐν ὀρθοδόξῳ πίστει καὶ εὐλαβείᾳ οἰκούν-
των ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.

(8) Δ. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ
καὶ εὐλαβείᾳ καὶ ἀσκήσει διαμενόντων, καὶ
τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς
(9) τῆς γῆς ἀγωνιζομένων πατέρων τε καὶ
(10) ἀδελφῶν, καὶ τῶν κατὰ τόπον ὀρθοδόξων
(11) συνοδιῶν, καὶ τῆς ἐνθάδε συνοδίας ἡμῶν.

Ε. Μνήσθητι, Κύριε, τῶν κοπιώντων καὶ
διακονούντων ἡμῖν, πατέρων τε καὶ ἀδελφῶν
(12) ἡμῶν, διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Β. Μνήσθητι τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ
ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ

CODEX ROSSANENSIS.

Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, τῆς εὐσεβοῦς καὶ φιλοχρίστου αὐτῶν βασιλείας, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τῆς οὐρανόθεν βοηθείας καὶ νίκης αὐτῶν. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτῶν· ὑπόταξον αὐτοῖς
πάντα τὰ πολέμια καὶ βάρβαρα ἔθνη, τὰ [87]
τοὺς πολέμους θέλοντα· ῥύθμησον αὐτῶν τὰ βουλεύματα, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστιανῶν, τῶν ἐν δεσμοῖς καὶ φυλακαῖς, τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, ἐν μετάλλοις καὶ βασάνοις καὶ πικραῖς δουλείαις ὄντων, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου ἑκάστου αὐτῶν εἰς τὰ οἰκεῖα.

Μνήσθητι, Κύριε, τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ σοῦ, τοῦ Θεοῦ, ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν.

Μνήσθητι, Κύριε, πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης,

(1) *τῆς εὐσεβοῦς καὶ φιλοχρίστου αὐτοῦ βασιλίσσης* in the margin after *βασιλέως*.

(2) *σκέπης* interlined after *βοηθείας*.

(3) *καὶ τοὺς πολέμους θέλοντα* interlined after *ἔθνη*. Then the roll has *ἀρύθμησον αὐτοῦ τὰ βουλεύματα· ἀρύθμησον γαληνότητι*. I have corrected from the Rossano codex.

(4) *ἵνα* interlined before *ἤρεμον*.

(5) *βίον* interlined after *ἡσύχιον*.

(6) Χριστοῦ *τοῦ* Θεοῦ *ἡμῶν* in the margin (after *βασιλευούσης*).

(7) *καὶ νήσου* interlined after *χώρας*.

(8) The numerals Δ, Ε, &c. seem to denote the order in which the prayers were offered.

(9) *ὁσίων* interlined before *πατέρων*.

(10) *ἡμῶν* interlined after *ἀδελφῶν*.

(11) *πρὸς εὐαρέστησιν τῆς σῆς ἀγαθότητος* in the margin.

(12) Μνήσθητι, Κύριε, *τῶν ἐλθόντων καὶ ἐρχομένων χριστιανῶν τοῦ προσκυνῆσαι ἐν τοῖς ἁγίοις τοῦ* Χριστοῦ *τόποις* added in the margin.

PARIS MANUSCRIPT 2509.

Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, τῆς εὐσε-
(1) βοῦς καὶ φιλοχρίστου βασιλίσσης, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τῆς οὐρανόθεν βοηθείας καὶ νίκης αὐτῶν. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτῶν· ὑπόταξον αὐτοῖς πάντα τὰ πολεμικὰ καὶ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ῥύθμισον αὐτῶν τὰ βουλεύματα, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πασῇ εὐσεβείᾳ καὶ σεμ-
P. 27 νότητι.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων Χριστιανῶν, τῶν ἐν
S R S A δεσμοῖς, τῶν ἐν φυλακαῖς, τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, τῶν ἐν μετάλλοις καὶ βασάνοις καὶ πικραῖς δουλείαις ὄντων, πατέρων καὶ ἀδελφῶν ἡμῶν.

S R Μνήσθητι, Κύριε, τῶν νοσούντων καὶ καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως αὐτῶν καὶ σωτηρίας.

Μνήσθητι, Κύριε, πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους

PARIS MANUSCRIPT 476.

Μνήσθητι, Κύριε, τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως, τῆς εὐσεβοῦς καὶ φιλοχρίστου αὐτοῦ βασιλείας, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ καὶ τῆς οὐρανόθεν βοηθείας καὶ νίκης αὐτοῦ. Ἐπιλαβοῦ ὅπλου καὶ θυραιοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτοῦ· ὑπόταξον αὐτῷ πάντα τὰ πολέμια καὶ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ῥίζωσον αὐτὸν ἐν τῇ ὀρθοδόξῳ σου πίστει· ῥύθμησον αὐτοῦ τὰ βουλεύματα, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Μνήσθητι, Κύριε, τῶν ἐλθόντων καὶ ἐρχομένων τοῦ προσκυνῆσαι ἐν τοῖς ἁγίοις τοῦ Χριστοῦ τόποις.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων Χριστιανῶν, καὶ τῶν ἐν δεσμοῖς καὶ φυλακαῖς, καὶ ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, ἐν μετάλλοις καὶ βασάνοις καὶ πικραῖς δουλείαις ὄντων, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου ἑκάστου αὐτῶν εἰς τὰ οἰκεῖα.

Μνήσθητι, Κύριε, τῶν ἐν γήρᾳ καὶ ἐν ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ σοῦ, τοῦ Θεοῦ, ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν.

Μνήσθητι, Κύριε, πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους

(1) Not in P.

ROTULUS MESSANENSIS.

πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς
παρὰ σοῦ, τοῦ Θεοῦ, ταχείας ἰάσεως καὶ
σωτηρίας αὐτῶν.

Α. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπο-
(1) ρούντων, ξενιτευόντων, τῶν ἐν δεσμοῖς, φυ-
(2) λακαῖς, καὶ ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, ἐν
(3) μετάλλοις καὶ βασάνοις καὶ πικραῖς δου-
(4) λείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπα-
(5) νόδου ἑκάστου εἰς τὰ οἰκεῖα αὐτῶν.

Γ. Μνήσθητι, Κύριε, πάσης ψυχῆς χρισ-
τιανῆς θλιβομένης καὶ καταπονουμένης,
(6) ἐλέους καὶ βοηθείας ἐπιδεομένης, καὶ ἐπι-
στροφῆς τῶν πεπλανημένων.

Ζ. Μνήσθητι, Κύριε, πάντων εἰς ἀγα-
θόν· πάντας ἐλέησον, Δέσποτα· πᾶσιν ἡμῖν
διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ
σου· διασκέδασον τὰ σκάνδαλα· κατάργη-
σον τοὺς πολέμους· παῦσον τὰ σχίσματα
(7) τῶν ἐκκλησιῶν· κατάβαλε τὸ φρύαγμα τῶν
ἐθνῶν καὶ τῶν αἱρετικῶν· ὕψωσον κέρας
χριστιανῶν· τὴν σὴν εἰρήνην καὶ ἀγάπην
χάρισαι ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ
ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.

Ἐνταῦθα νεύει τῷ ἀρχιδιακόνῳ.

Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, ὄμ-
(8) βρων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας
εὐετηρίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ
τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ
πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως

CODEX ROSSANENSIS.

ἐλέους καὶ βοηθείας σοῦ, τοῦ Θεοῦ, ἐπιδεο- [87 b]
μένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων.

Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ καὶ εὐλαβείᾳ καὶ ἀσκήσει διαμενόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν· καὶ τῶν κατὰ τόπον ὀρθοδόξων συνοδιῶν, καὶ τῆς ἐνθάδε ἐν Χριστῷ συνοδίας ἡμῶν.

Μνήσθητι, Κύριε, τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Μνήσθητι, Κύριε, πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον, Δέσποτα· πᾶσιν ἡμῖν διαλ-
λάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργησον τοὺς πολέμους· παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ἐν τάχει κατάλυσον· κατάβαλε τὸ φρύαγμα τῶν ἐθνῶν· ὕψωσον κέρας χριστιανῶν· τὴν [88]
σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.

Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ

(1) Χριστιανῶν interlined after ξενιτ. καὶ erased and replaced by ἐν before φυλακαῖς.

(2) καὶ erased before ἐν μετάλλοις.

(3) ἐν interlined before πικραῖς.

(4) πατέρων καὶ interlined before ἀδελφῶν.

(5) μετὰ χαρᾶς ἐν τάχει in the margin.

(6) καὶ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν καὶ ἰάσεως τῶν ἀσθενειῶν (?) καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν added in the margin.

(7) τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ἐν τάχει κατάλυσον in the margin (after ἐκκλησιῶν).

(8) δρόσων εἰρηνικῶν in the margin after ἀγαθῶν.

PARIS MANUSCRIPT 2509.

καὶ βοηθείας σου τοῦ Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων.

Μνήσθητι, Κύριε, τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν πατέρων καὶ ἀδελφῶν ἡμῶν, διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Μνήσθητι, Κύριε, πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον, Δέσποτα· πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργη-
(1) σον τοὺς πολέμους· παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν καὶ τὰς τῶν αἱρέσεων ἐπαναστάσεις· κατάλυσον τὰ φρυάγματα τῶν ἐθνῶν· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.

S R S A Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως

PARIS MANUSCRIPT 476.

καὶ βοηθείας σου τοῦ Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων.

Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ καὶ εὐλαβείᾳ καὶ ἀσκήσει διαμενόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν· καὶ τῶν κατὰ τόπον ὀρθοδόξων συνοδιῶν, καὶ τῆς ἐνθάδε ἐν Χριστῷ συνοδίας ἡμῶν.

Μνήσθητι, Κύριε, τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Μνήσθητι, Κύριε, πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον, Δέσποτα· πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργησον τοὺς πολέμους· παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ἐν τάχει κατάλυσον· κατάβαλε τὸ φρύαγμα τῶν ἐθνῶν· ὕψωσον κέρας χριστιανῶν· ✠✠✠ τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.

Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, δρόσων ἀγαθῶν, ὄμβρων εἰρηνικῶν, καρπῶν εὐφορίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως

(1) For the passage παῦσον τὰ σχίσματα...τῶν ἐθνῶν P. has παῦσον τὰς τῶν αἱρέσεων ἐπαναστάσεις.

ROTULUS MESSANENSIS.

τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον
(1) εὐδοκίας.

Μνήσθητι, Κύριε, τῶν καρποφορησάντων
(2) (3) καὶ καρποφορούντων, μεμνημένων τῶν πενήτων, καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς.

Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν τὰς προσφορὰς προσενεγκάντων ἐν τῇ
(4) σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀναγινωσκομένων, ὧν σύ, Κύριε, γινώσκεις τὰ ὀνόματα.

Μνήσθητι, Κύριε, τῶν ἡμέτερων γονέων καὶ ἀδελφῶν καὶ φίλων καὶ συγγενῶν,

sic

καὶ ὧν σύ, Κύριε, γινώσκεις τὰ ὀνόματα, τούτων πάντων μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων. ἀντίδος αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, κατὰ τὸ ἐπάγγελμα τοῦ Χριστοῦ σου·

Ἐπειδὴ δὲ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχεις, Κύριε ὁ Θεὸς ἡμῶν, ἔτι
(5) μνησθῆναι καταξίωσον, Δέσποτα, καὶ τῶν κατὰ γενεὰν καὶ γενεὰν εὐαρεστησάντων, ἁγίων πατέρων, δικαίων, πατριαρ-

CODEX ROSSANENSIS.

σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Μνήσθητι, Κύριε, τῶν καρποφορησάντων καὶ καρποφορούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς.

Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν τὰς προσφορὰς ταύτας προσενεγκάντων [88 b]
ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως ἀναγινωσκομένων.

Μνήσθητι, Κύριε, καὶ τῶν ἡμετέρων γονέων, συγγενῶν, καὶ φίλων, τοῦ Δ'. καὶ τοῦ Δ'.

Τούτων πάντων μνήσθητι, Κύριε, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων. ἀντίδος αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, κατὰ τὸ ἐπάγγελμα τοῦ Χριστοῦ σου, ἐπειδὴ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχεις.

Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν ἀπ' αἰῶνος σοὶ εὐαρεστησάντων κατὰ γενεὰν καὶ γενεάν, ἁγίων πατέρων, πα-

(1) Then in the margin *Μνήσθητι, Κύριε, τῶν ποταμίων ὑδάτων καὶ τῆς παρὰ τοῦ...δι' αὐτ.... ἁγίας, τελείας, τελεσφορίας, καὶ εἰρηνικῆς, συμμέτρου ἀναβάσεως αὐτῶν.* This is very difficult to read. Monaldinius printed *καὶ τῆς*, and then added "cætera legi non potuere."

(2) Written partly over an erasure *ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἡμῶν ἐκκλησίαις* (after *καρποφορούντων*).

(3) *χηρῶν, ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων* added in the margin after *πενήτων*.

(4) The text originally was *τῷ ἁγίῳ σου θυσιαστηρίῳ* for *ἐπὶ τό*.

(5) *ἀπ' αἰῶνος* interlined after *καὶ τῶν*.

PARIS MANUSCRIPT 2509.

S R *τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.*

P. 28 *Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων·*

S R S A *καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς.*

S R S A *Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν τὰς προσφορὰς ταύτας προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀνεγνωσμένων.*

(1) *Ἔτι μνησθῆναι καταξίωσον τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων κατὰ γενεὰν καὶ*

S A *γενεάν, ἁγίων πατέρων, πατριαρχῶν, προ-*

(1) At the commencement of this clause P. has *Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου σου, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν φύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς περιποίησαι, ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος κ.τ.λ.*

PARIS MANUSCRIPT 476.

τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Ὧδε μνημονεύει ὧν θέλει.

Μνήσθητι, Κύριε, τῶν καρποφορησάντων καὶ καρποφορούντων ἐν ταῖς ἁγίαις σου τοῦ Θεοῦ ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων· καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς.

Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν τὰς προσφορὰς προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, ✠ καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀναγινωσκομένων.

✠ *Μνήσθητι, Κύριε, καὶ τῶν ζώντων, ἡμετέρων γονέων τε καὶ ἀδελφῶν καὶ φίλων καὶ συγγενῶν.*

Ἐνταῦθα μνημονεύει ὧν θέλει ζώντων.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἐπισκόπου ἡμῶν τοῦδε, ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Τούτων πάντων μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, ὧν ἐμνήσθημεν ὀρθοδόξων καὶ ὧν οὐκ ἐμνήσθημεν. ἀντίδος αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, κατὰ τὸ ἐπάγγελμα τοῦ Χριστοῦ σου. Ἐπειδὴ δὲ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχεις, ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων κατὰ γενεὰν καὶ γενεάν, ἁγίων πατέρων, πατρι-

ROTULUS MESSANENSIS.

χῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, προ-
(1) πατέρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων,
παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ
(2) Χριστοῦ σου τετελειωμένου.

Μνήσθητι, Κύριε, τῆς ἀρχαγγελικῆς φωνῆς τῆς λεγούσης, Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς
(3) κοιλίας σου.

Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν, θεο-
(4) τόκου καὶ ἀειπαρθένου, Μαρίας,

(1) *ἐπισκόπων* interlined after *ὁσίων*.

(2) *καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ ὑπόμνησιν ποιούμεθα* added in the margin. On the other margin *Ὁ διάκονος τὰ δίπτυχα.*

(3) *ὅτι ἔτεκες σωτῆρα τῶν ψυχῶν ἡμῶν. γʹ.* interlined.

(4) In the right hand margin *Μνήσθητι, Κύριε, ὁ Θεὸς ἡμῶν*, and in the left, though in a much later hand, *τῶν τιμίων, ἀσωμάτων ἀρχαγγέλων, ἀγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, δυναμέων, πολυομμάτων χερουβὶμ καὶ ἑξαπτερύγων σεραφίμ.*

CODEX ROSSANENSIS.

τριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, καὶ παν-
τὸς πνεύματος δικαίου ἐν πίστει τοῦ Χριστοῦ [89]
σου τετελειωμένου.

Μνήσθητι, Κύριε, τῆς ἀρχαγγελικῆς φωνῆς τῆς λεγούσης· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων.

Ὑπὲρ σωτηρίας, εἰρήνης, ἐλέους, διαμονῆς καὶ ἀντιλήψεως τοῦ ἁγιωτάτου ἡμῶν τοῦ Δʹ. πατριάρχου, καὶ λοιπῶν ὁσίων ἀρχιεπισκόπων καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, παντὸς ἐκκλησιαστικοῦ τάγματος, καὶ ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ καὶ ἐξουσίᾳ ὄντων· ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· ἔτι ὑπὲρ πρεσβυ-
τέρων, διακόνων, διακονισσῶν, ὑποδιακόνων, [89 b]
ἀναγνωστῶν, ἐπορκιστῶν, ἑρμηνευτῶν, ψαλτῶν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, ὀρφανῶν, ἐγκρατευομένων, καὶ τῶν ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν φιλοχρίστων·

Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας καὶ ὑπερευλογημένης, ἀχράντου, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου, Μαρίας·

Λέγουσιν οἱ διάκονοι,

Μνήσθητι, Κύριε, ὁ Θεὸς ἡμῶν,

Ὁ ἱερεὺς κλίνων λέγει,

Τῆς παναγίας ἀχράντου· τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων, Μιχαὴλ καὶ Γαβριήλ, καὶ πάσης ἀγγελικῆς στρατιᾶς·

PARIS MANUSCRIPT 2509.	PARIS MANUSCRIPT 476.
φητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ Χριστοῦ σου τετελειωμένου.	αρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ Χριστοῦ σου τετελειωμένου.
	Ὁ *ἱερεὺς συνάπτει,*
Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτε- (1) κες τῶν ψυχῶν ἡμῶν.	Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ἀξιομακάριστε, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.
(2) Ὁ *ἀρχιδιάκονος λαμβάνει τὰ δίπτυχα τῶν ζώντων.*	*Λέγει οὖν τοῦτο τρίς.*
Ὁ *ἱερεὺς ἐκφωνεῖ,*	Εἶτα *ἐκφωνεῖ,*
S R Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν, θεοτόκου καὶ (3) ἀειπαρθένου, Μαρίας.	Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου, Μαρίας.
P. 29 Οἱ *διάκονοι.* Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν,	Ὁ *διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων.*
Ὁ *ἱερεὺς ἐπικλινόμενος λέγει,*	Ὁ *οὖν ἱερεὺς κλινόμενος ἐπεύχεται,*

(1) In marg. sup. cod. hæc legitur rubrica: *Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ ἐκφώνησις αὕτη, ζήτει κ. ιθ'.*

[The invocation is not in any of the printed copies of Saint Basil. It is in the MS. *C.* of S. Chrysostom (see p. 131, note *d*) as in the Rossano S. Mark (p. 40). But possibly the note refers to the *Ἐξαιρέτως*, which see in p. 82.]

(2) P. omits this.

(3) P. here inserts the passage which will be found below on p. 295.

ROTULUS MESSANENSIS.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρό-
μου καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευ-
φήμων ἀποστόλων, Πέτρου, Παύλου, Ἀν-
δρέου, Ἰακώβου, Ἰωάννου, Φιλίππου, Βαρ-
(1) θολομαίου, Θωμᾶ, Ματθαίου, Ἰακώβου,
(2) Σίμωνος, Ἰούδα, Ματθία, Μάρκου, Λουκᾶ,
Θαδδαίου, Βαρνάβα, Τιμοθέου, Τίτου, Ἀνα-
νίου, καὶ λοιπῶν ἁγίων μαθητῶν καὶ ἀπο-
στόλων· καὶ τῶν ἁγίων καὶ μακαρίων
πατέρων, Ἀδάμ, Ἄβελ, Σήθ, Ἐνώς, Ἐνώχ,
Νῶε, Σήμ, Μελχισεδέκ, Ἀβραάμ, Ἰσαάκ,
Ἰακώβ, Ἰωσήφ, Ἰώβ· τῶν ἁγίων προφη-
(3) τῶν καὶ πατριαρχῶν καὶ δικαίων, τῶν ἁγίων
Ἀαρών, Ἰησοῦ τοῦ Ναυή, Σαμουήλ, Ἡλίου,
Ἐλισσαίου, Νάθαν, Δαβίδ, Ἀχιὰ τοῦ Σι-
λονίτου, Ἡσαίου, Ἱερεμίου, Ἰεζεχιήλ, Δα-
νιήλ, Ὠσηέ, Ἀμώς, Ἀβδίου, Μιχαίου,
Μαλαχίου, Σοφονίου, Ἰωήλ, Ἰωνᾶ, Ἀμβα-
κούμ, Ναούμ, Ζαχαρίου, Ἀγγαίου, καὶ
λοιπῶν προφητῶν· τοῦ ἁγίου Στεφάνου
τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος· καὶ
τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν, τῶν
διὰ Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν
μαρτυρησάντων καὶ ὁμολογησάντων τὴν
(4) καλὴν ὁμολογίαν· τῶν ἁγίων καὶ καλλινίκων
μαρτύρων, Ἐράσμου, Θεοδώρου, Γεωργίου,
Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου
καὶ Ὀρέστου, Παντελεήμονος, Εὐσταθίου,
Ἰσιδώρου, Αἰμιλιανοῦ, Ἀδριανοῦ, Καισαρίου,
Ἰουλιανοῦ καὶ τῶν σὺν αὐτῷ, Τρύφωνος,
Ἀλεξάνδρου, Κηρύκου, Σεργίου καὶ Βάκχου,
Κύρου καὶ Ἰωάννου, Μηνᾶ, Βίκτορος καὶ

(1) Ἰακώβου erased.

(2) τῶν εὐαγγελιστῶν interlined after Λουκᾶ.

(3) In the margin προφητῶν, Μωϋσέως before Ἀαρών.

CODEX ROSSANENSIS.

Τοῦ ἁγίου Ἰωάννου, τοῦ ἐνδόξου προφήτου
προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων ἀπο-
στόλων, Πέτρου, Παύλου, Ἀνδρέου, Ἰακώ-
βου, Ἰωάννου, Φιλίππου, Βαρθολομαίου,
Θωμᾶ, Ματθαίου, Ἰακώβου, Σίμωνος, Ἰούδα,
Ματθία, Μάρκου, Λουκᾶ, τῶν εὐαγγελιστῶν· [90]
τῶν ἁγίων ἑβδομήκοντα ἀποστόλων· τῶν
ἁγίων προφητῶν καὶ πατριαρχῶν καὶ δικαίων·
τοῦ ἁγίου Στεφάνου, τοῦ πρωτοδιακόνου καὶ
πρωτομάρτυρος· τῶν ἁγίων μαρτύρων καὶ
ὁμολογητῶν, τῶν διὰ Χριστόν, τὸν ἀληθινὸν
Θεὸν ἡμῶν, μαρτυρησάντων καὶ ὁμολογη-
σάντων τὴν καλὴν ὁμολογίαν· τῶν ἁγίων
νηπίων τῶν ἀναιρεθέντων ὑπὸ Ἡρώδου τοῦ
βασιλέως.

Μνήσθητι, Κύριε, Προκοπίου, Θεοδώρου,
Γεωργίου, Κύρου, Ἰωάννου, Λεοντίου, Σερ-
γίου, Βάκχου, Κοσμᾶ, Δαμιανοῦ, Σαβι-
νιανοῦ, Παύλου, Βαβυλᾶ καὶ τῶν σὺν
αὐτῷ ἀθλησάντων, Ἀγαθαγγέλου, Εὐστρα-
τίου καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων· τῶν
ἁγίων τεσσαράκοντα μαρτύρων· τῶν ἁγίων
τεσσαρακοντάπεντε· τῶν ἁγίων ὁμολογητῶν,
Σαμωνᾶ, Γουρία, Ἀμβίβου· τοῦ ἁγίου [90 b]
ἱερομάρτυρος Δομετίου· τῶν ἁγίων Παντε-
λεήμονος, Φρόντωνος, Νικήτα καὶ Ἑρ-
μολάου· τοῦ ἁγίου Βοηθοῦ· τῶν ἁγίων
Θαλελαίου, Μαρίνου καὶ Θεοτίμου, καὶ
τοῦ ἁγίου μεγαλομάρτυρος Μερκουρίου·
ὧν ταῖς εὐχαῖς ἐλεηθείημεν καὶ διαφυ-
λαχθείημεν.

Μνήσθητι, Κύριε, τῆς ἁγίας πρωτομάρ-

(4) In the margin Μνήσθητι, Κύριε, τῶν νηπίων τῶν ἀναιρεθέντων ὑπὸ Ἡρώδου τοῦ βασιλέως. Μνήσθητι Κύριε τῶν δ μαρτύρων (after ὁμολογίαν).

PARIS MANUSCRIPT 2509.

[1] S R Τοῦ ἁγίου Ἰωάννου ἐνδόξου προφήτου,
προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων ἀπο-
στόλων Πέτρου καὶ Παύλου, Ἀνδρέου,
Ἰακώβου, Ἰωάννου, Φιλίππου, Βαρθολο-
μαίου, Θωμᾶ, Θαδδαίου, Ματθαίου, Ἰακώ-
βου, Σίμωνος, Ἰούδα, Ματθίου, Μάρκου,
Λουκᾶ, τῶν εὐαγγελιστῶν· τῶν ἁγίων προ-
S R φητῶν, πατριαρχῶν, δικαίων· τοῦ ἁγίου
Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτο-
μάρτυρος· πάντων τῶν ἀπ' αἰῶνος ἁγίων
σου· οὐχ ὅτι ἡμεῖς ἐσμὲν ἄξιοι μνημονεύειν
S R τῆς ἐκείνων μακαριότητος, ἀλλ' ἵνα καὶ
αὐτοὶ παρεστῶτες τῷ φοβερῷ καὶ φρικτῷ
S A σου βήματι, ἀντιμνημονεύσωσι τῆς ἡμῶν
ἐλεεινότητος, καὶ εὕρωμεν χάριν καὶ ἔλεος
ἐνώπιόν σου, Κύριε, εἰς εὔκαιρον βοή-
θειαν.

PARIS MANUSCRIPT 476.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων ἀποστόλων Πέτρου, Παύλου, Ἀνδρέου, Ἰακώβου, Ἰωάννου, Φιλίππου, Βαρθολομαίου, Θωμᾶ, Ματθαίου, Ἰακώβου, Σίμωνος, Ἰούδα, Ματθία, Μάρκου, Λουκᾶ, τῶν εὐαγγελιστῶν· τῶν ἁγίων προφητῶν καὶ πατριαρχῶν καὶ δικαίων· τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος· τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν τῶν διὰ Χριστόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, μαρτυρησάντων καὶ ὁμολογησάντων τὴν καλὴν ὁμολογίαν· τῶν ἁγίων νηπίων τῶν ἀναιρεθέντων ὑπὸ Ἡρώδου τοῦ βασιλέως. Μνήσθητι, Κύριε, τῶν ἁγίων μαρτύρων Προκοπίου, Θεοδώρου, Κύρου, Ἰωάννου, Γεωργίου, Λεοντίου, Σεργίου, Βάκχου, Κοσμᾶ, Δαμιανοῦ, Σαβινιανοῦ, Παύλου, Βαβυλᾶ, Ἀγαθαγγέλου, Κλήμεντος, Εὐστρατίου καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων· τῶν ἁγίων τεσσαράκοντα· τῶν ἁγίων τεσσαρακοντάπεντε· τῶν ἁγίων τεσσαρακοντάδυο· τῶν ἁγίων ἑξηκοντατριῶν·

(1) P. omits this passage entirely.

ROTULUS MESSANENSIS.

Βικεντίου· τῶν ἁγίων τεσσαράκοντα μαρ-
τύρων καὶ λοιπῶν ἁγίων μαρτύρων· τῶν
(1) ἁγίων μαρτύρων γυναικῶν, Θέκλης, Ἀνα-
στασίας, Φεβρωνίας, Βαρβάρας, Ἰουλιανῆς,
Ἀγαθῆς, Λουκίας, Καλλινίκης, Καλλίστης,
Ἰουλίττης, Ἱερουσαλήμ, Ἑκατερίνης, Να-
ταλίας, Βασιλίσσης, Κιλικίας, Κυριακῆς,
Εὐγενίας, Χριστίνης, Εἰρήνης, Θεοδότης,
Φαύστης· οὐχ ὅτι ἡμεῖς ἐσμὲν ἄξιοι μνη-
μονεῦσαι τῆς αὐτῶν μακαριότητος, ἀλλ' ἵνα
αὐτοὶ παρεστῶτες τῷ φρικτῷ καὶ φοβερῷ
σου βήματι, Κύριε, ἀντιμνημονεύσωσιν τῆς
ἡμετέρας ἐλεεινότητος· καὶ τῶν ἁγίων πα-
τέρων ἡμῶν καὶ ἀρχιεπισκόπων, τῶν ἀπὸ
τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ
(2) ἀδελφοῦ τοῦ Κυρίου καὶ πρώτου τῶν ἐπι-
(a) σκόπων μέχρι Λέοντος καὶ Ἀθανασίου ὀρ-
(3) θοδόξως ἀρχιεπισκοπησάντων καὶ τῶν ἐξ
ἀρχῆς ἀρχιεπισκοπησάντων· τῶν ἀπὸ τοῦ
ἁγίου καὶ μακαρίου πατρὸς ἡμῶν Ἐνέα, τοῦ
ἀποστολικοῦ καὶ πρώτου τῶν ἐπισκόπων,
μέχρι Σωφρονίου καὶ Ἰωάννου· καὶ τῶν
ἁγίων πατέρων ἡμῶν Διονυσίου, Κλήμεντος,
Τιμοθέου, Ἰγνατίου, Σιλβέστρου, Εἰρηναίου,
Ἀλεξάνδρου, Εὐσταθίου, Ἀθανασίου, Βα-
σιλείων, Γρηγορίων, Ἀμβροσίου, Νικολάου,
Ἀμφιλοχίου, Λιβερίου, Δαμάσου, Ἰωάννου
τοῦ Χρυσοστόμου, Ἐπιφανίου, Θεοφίλου,
sic Κελευστίνου, Αὐγουστίνου, Κυρίλλων, Λέον-
sic τος, Πρόκλου, Πρόκλου, Φίλικος, Ὁρμίσκου,
Ἀγαπητοῦ, Εὐλογίου, Μαρτίνου, Ἀγάθωνος,
Σωφρονίου, Πολυκάρπου, Φλαβιανοῦ, Μεθο-

(1) μυροφόρων γυναικῶν, τῶν ἁγίων added in the margin after ἁγίων.

(2) ἀρχι interlined before ἐπισκόπων.

CODEX ROSSANENSIS.

τυρος Θέκλης· τῶν ἁγίων μυροφόρων γυναι-
κῶν· Τάττης, Φεβρωνίας, Ἀναστασίας, Εὐ-
φημίας, Σοφίας, Βαρβάρας, Ἰουλιανῆς,
Εἰρήνης, Ἐλπίδος, Πίστεως, Ἀγάπης, Πα-
ρασκευῆς· τῆς ἁγίας Μαρίας· τῆς Συνοδίας,
τῆς ἁγίας Στρατονίκης καὶ Σελεύκου· τοῦ
ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ θαυμα-
τουργοῦ, καὶ τῆς ὁσίας μητρὸς αὐτοῦ Μάρ-
θας· ὧν ταῖς εὐχαῖς ἐλεηθείημεν καὶ διαφυ-
λαχθείημεν.

Μνήσθητι, Κύριε ὁ Θεός, τῶν πατέρων
ἡμῶν καὶ ἀρχιεπισκόπων, τῶν ἀπὸ τοῦ [91]
ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοῦ
τοῦ Κυρίου καὶ πρώτου τῶν ἀρχιεπισκόπων
μέχρι Ἰωσὴφ καὶ Ὀρέστου τῶν ὀρθοδόξως (b)
ἀρχιεπισκοπησάντων τῆς ἁγίας σοῦ τοῦ
Θεοῦ ἡμῶν πόλεως.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων
ἡμῶν καὶ πατριαρχῶν Πέτρου, Εὐώδου,
Ἰγνατίου, Εἴρωνος, Κορνηλίου, Ἔρωτος,
Θεόφιλου, Μαξιμίνου, Σεραπίωνος, Ἀσκλη-
πιάδου, Φιλίτου, Ζεβίνου, Βαβυλᾶ, Ἀφα-
βίου, Δημητριανοῦ, Δόμνου, Τιμαίου, Κυ-
ρίλλου, Βιταλίου, Φιλογονίου, Εὐσταθίου,
Μελετίου, Φλαβιανοῦ, Πορφυρίου, Παυλί-
νου, Εὐαγρίου, Ἀλεξάνδρου, Θεοδότου,
Ἰωάννου, Βασιλείου, Ἀκακίου, Ἰουλιανοῦ,
Παλλαδίου, Εὐφρασίου, Ἐφραιμίου, Δομ-
νίνου, Γρηγορίου, Ἀναστασίου, Θεοφανοῦς,
Γεωργίου, Στεφάνου, Θεοφυλάκτου, Θεοδώ- [91 b]
ρου, Θεοδωρήτου, Ἰώβ, Στεφάνου, Θεοδοσίου,
Συμεών, Ἠλία, Θεοδοσίου, Θεοχαρίστου,

(3) τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως added in the margin after the first ἀρχιεπισκοπησάντων.

PARIS MANUSCRIPT 2509.

[The following is printed in the edition of Morel after the clause Ἐξαιρέτως, p. 291.

Οἱ ψάλται.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε, τὴν θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ πάλιν ψάλλουσιν.

Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

See p. 131, note *e* and p. 162, note *b*.]

PARIS MANUSCRIPT 476.

τῶν ἁγίων τριακοντατριῶν· τῆς ἁγίας Θέκλης τῆς πρωτομάρτυρος· τῶν ἁγίων μυροφόρων γυναικῶν· Τάττης, Φεβρωνίας, Ἀναστασίας, Εὐφημίας, Σοφίας, Βαρβάρας, Ἰουλιανῆς, Εἰρήνης, Ἐλπίδος, Πίστεως, Ἀγάπης, Μαρίνης, Αἰκατερίνης.

Μνήσθητι, Κύριε, ὁ Θεὸς τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων, τῶν ἀπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοῦ τοῦ Κυρίου καὶ πρώτου τῶν ἀρχιεπισκόπων, μέχρι Θεοφίλου καὶ Νικηφόρου, Ἰωάννου, (c) *Λεοντίου τῶν ὀρθοδόξως ἀρχιεπισκοπησάντων τῆς ἁγίας σοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως.*

(*a*) Leo and Athanasius (Leontius and Anastasius) are said to have been Archbishops of Jerusalem between 928 and 950.

(*b*) Orestes was banished from Jerusalem and slain in the year 1012.

(*c*) Theophilus seems to have succeeded Orestes: and Nicephorus to have been archbishop about the year 1050.

ROTULUS MESSANENSIS.

δίου, Παύλου, Μοδέστου, Ἐφραίμ, Μαρτίνου, Ἡσυχίου, Μαρκιανοῦ, Παγκρατίου, Ἀντιπάτρου, Γρηγορίου Ἀκραγαντίνων, Λέοντος, Εὔπλου, Σεφηριανοῦ, Φιλίππου, Γερμανοῦ, Νικολάου, Ταρασίου, *ἐπισκόπων καὶ πρεσβυτέρων, ἱερομαρτύρων, ὀρθοδόξως ὀρθοτομησάντων τὸν λόγον τῆς σῆς ἀληθείας·*

Καὶ τῶν ἁγίων, μεγάλων, οἰκουμενικῶν ἓξ συνόδων, πρώτης τῶν ἐν* Νικαίᾳ *τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, δευτέρας τῶν ἐν* Κωνσταντινουπόλει *ἑκατὸν πεντήκοντα, τρίτης τῶν ἐν* Ἐφέσῳ *διακοσίων, τετάρτης τῶν ἐν* Χαλκηδόνι *ἑξακοσίων τριάκοντα,
(b) *πέμπτης τῶν ἐν* Σινᾶ *ἑκατὸν ἑξήκοντα τεσσάρων, ἕκτης πάλιν τῶν ἐν* Σινᾶ *διακοσίων ὀγδοήκοντα θ΄. καὶ λοιπῶν ἁγίων συνόδων καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας·*

***καὶ τῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀσκητῶν* Παύλου, Ἀντωνίου, Παύλου, Πα-**

CODEX ROSSANENSIS.

Ἀγάθωνος, Χριστοφόρου *τοῦ νεομάρτυρος,* Θεοδώρου, Ἀγαπίου, Ἰωάννου, Νικολάου, Ἠλίου, Θεοδώρου, Βασιλείου, Πέτρου *καὶ*
Θεοδοσίου, *τῶν ὀρθοδόξως ἀρχιεπισκοπησάντων τῆς ἁγίας καὶ κορυφαιοτάτης ἐκκλησίας, τῆς φιλοχρίστου ἡμῶν* Θεοῦ *πόλεως* Ἀντιοχείας. (a)

Μνήσθητι, Κύριε, *τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων* Κλήμεντος, Τιμοθέου, Τίτου, Ἰγνατίου, Διονυσίου, Εἰρηναίου, Πέτρου, Γρηγορίου, Ἀλεξάνδρου, Εὐσταθίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίου, Γρηγορίου, Ἀμβροσίου, Ἀμφιλοχίου, Λιβερίου, Δαμάσου, Ἰωάννου, Ἐπιφανίου, Θεοφίλου, Κελεστίνου, Αὐγουστίνου, Κυρίλλου, Λέοντος, Πρόκλου, Πρωτερίου, Φίλικος,
Ὁρμίσδου, Εὐλογίου, Ἐφραιμίου, Ἀναστασίου, Θεοδώρου, Μαρτίνου, Ἀγάθωνος, Σωφρονίου. [97] sic

Μνήσθητι, Κύριε, *τῶν ἁγίων μεγάλων καὶ οἰκουμενικῶν ἓξ συνόδων· τῶν ἐν* Νικαίᾳ *τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, καὶ τῶν ἐν* Κωνσταντινουπόλει *ἑκατὸν πεντήκοντα, καὶ τῶν ἐν* Ἐφέσῳ *τὸ πρότερον διακοσίων, καὶ τῶν ἐν* Καλχηδόνι *ἑξακοσίων τριάκοντα, καὶ τῶν ἐν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ ἑκατὸν ἑξήκοντα τεσσάρων, καὶ τῶν ἐν τῇ ἁγίᾳ ἕκτῃ συνόδῳ διακοσίων ὀγδοήκοντα ἐννέα, καὶ λοιπῶν ἁγίων συνόδων· καὶ πατέρων ἡμῶν, ἀρχιεπισκόπων καὶ ἐπισκόπων, τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας.*

Μνήσθητι, Κύριε, *τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀσκητῶν* Παύλου, Ἀντωνίου,

PARIS MANUSCRIPT 2509.

(*a*) [The order in the "Synodicon" recited in the Greek Church on "orthodox Sunday" gives Peter and Theodosius as successively Patriarchs of Antioch. Peter was alive in the year 1054. Neale's Patriarchate of Antioch, p. 172, note 2.]

(*b*) [The fixing the place of the meeting of the fifth and sixth councils at Sinai is strange.]

(*c*) [This MS. alone mentions the seventh Synod.]

PARIS MANUSCRIPT 476.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων Κλήμεντος, Τιμοθέου, Ἰγνατίου, Διονυσίου, Εἰρηναίου, Πέτρου, Γρηγορίου, Ἀλεξάνδρου, Εὐσταθίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίου, Γρηγορίων, Ἀμβροσίου, Ἀμφιλοχίου, Λιβερίου, Δαμάσου, Ἰωάννου, Ἐπιφανίου, Θεοφίλου, Κελεστίνου, Αὐγουστίνου, Κυρίλλου, Λέοντος, Πρόκλου, Φίλικος, Προτέση, Ὁρμίσδου, *sic* Εὐλογίου, Ἐφραίμ, Ἀναστασίου, Θεοδώρου, Μαρτίνου, Ἀγάθωνος, Σωφρονίου.

Μνήσθητι, Κύριε, τῶν ἁγίων μεγάλων καὶ οἰκουμενικῶν ἓξ συνόδων· τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτώ, τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα, τῶν ἐν Ἐφέσῳ τὸ πρότερον διακοσίων, τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα, τῶν ἐν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ ἑκατὸν ἑξηκοντατεσσάρων, τῶν ἐν τῇ ἁγίᾳ ἕκτῃ συνόδῳ διακοσίων ὀγδοηκονταεννέα, τῶν ἐν τῇ ἑβδόμῃ συνόδῳ (*c*) τριακοσίων ἑξηκοντάεπτα ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον· καὶ τῶν λοιπῶν ἁγίων συνόδων καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀσκητῶν Παύλου, Ἀντωνίου,

ROTULUS MESSANENSIS.

χωμίου, Ἀμμωνᾶ, Θεοδώρου, Ἱλαρίωνος,
(1) Ἀρσενίου, Μάκαρος, Μακαρίου, Ἐφραίμ, Σιμεῶνος, Συμεῶνος, Εὐθυμίου, Θεοδοσίου, Σάβα, Χαρίτωνος, Γερασίμου, Μαξίμου, Ἀναστασίου, Κοσμᾶ, Ἰωάννου, καὶ τῶν ἁγίων πατέρων ἡμῶν τῶν ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων ἐν τῷ ἁγίῳ ὄρει τῷ Σινᾶ καὶ
sic ἐν τῇ Ῥαϊθοῦ.

Μνήσθητι, Κύριε, πρεσβυτέρων, διακόνων, διακονισσῶν, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, ἑρμηνευτῶν, μοναζόντων, τῶν μετὰ πίστεως ἐν τῇ κοινωνίᾳ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τελειωθέντων· καὶ τῶν πιστῶν καὶ εὐσεβῶν βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης, Θεοδοσίου τοῦ μεγάλου, Μαρκιανοῦ, Κωνσταντίνου, καὶ τῶν κατ' αὐτοὺς εὐσεβῶς καὶ πιστῶς βασιλευσάντων· καὶ πάντων τῶν ἐν πίστει Χριστοῦ προκεκοιμημένων, φιλοχρίστων, ὀρθοδόξων, λαϊκῶν· καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος φιλοχρίστου λαοῦ, καὶ πάντων, καὶ πασῶν.

Καὶ λέγει ὁ ἱερεὺς μυστικῶς,

Τοῦ ἁγίου Ἰωάννου, τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ ἁγίου τοῦ Δ'., οὗ τὴν μνήμην μνημονεύομεν, καὶ πάντων τῶν ἁγίων σου· ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι, Κύριε, πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

CODEX ROSSANENSIS.

Χαρίτωνος, Παύλου, Παχωμίου, Ἀμμωνᾶ, [92 b]
Θεοδώρου, Ἱλαρίωνος, Ἀρσενίου, Μακαρίου, Μακαρίου, Σισώη, Ἰωάννου, Παμβώ, Ποιμένος, Νείλου, Ἡσιδώρου, Ἐφραίμ, Συμεῶνος, Συμεῶνος, Θεοδοσίου, Σάβα, Σάβα, Εὐθυμίου, Θεοκτίστου, Γερασίμου, Παντολέοντος, Μαξίμου, Ἀναστασίου, Κοσμᾶ, Ἰωάννου, Τιμοθέου καὶ τοῦ νέου Χαρίτωνος.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν τῶν ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων ἐν τῷ ἁγίῳ ὄρει τῷ Σινᾶ καὶ ἐν τῇ Ῥαϊθῷ· καὶ λοιπῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀσκητῶν ὀρθοδόξων, καὶ πάντων τῶν ἁγίων σου· οὐχ ὅτι ἡμεῖς ἐσμὲν ἄξιοι μνημονεύειν τῆς ἐκείνων μακαριότητος, ἀλλ' ἵνα καὶ αὐτοὶ παρεστῶτες τῷ φοβερῷ καὶ φρικτῷ σου βήματι ἀντιμνημονεύσωσι τῆς ἡμῶν ἐλεεινότητος, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐνώπιόν
σου, Κύριε, εἰς εὔκαιρον βοήθειαν. [93]

Μνήσθητι, Κύριε, πρεσβυτέρων, διακόνων, διακονισσῶν, ὑποδιακόνων, ἀναγνωστῶν, ἐπορκιστῶν, ἑρμηνευτῶν, ψαλτῶν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, ὀρφανῶν, ἐγκρατευομένων, τῶν μετὰ πίστεως ἐν τῇ ἁγίᾳ κοινωνίᾳ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τελειωθέντων.

Μνήσθητι, Κύριε, τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων, Κωνσταντίνου, Ἑλένης, Θεοδοσίου τοῦ μεγάλου, Μαρκιανοῦ, Πουλχερίας, Λέοντος, Ἰουστινιανοῦ, Κωνσταντίνου, καὶ τῶν κατ' αὐτοὺς εὐσεβῶς καὶ πιστῶς βασιλευσάντων· καὶ πάντων τῶν ἐν πίστει καὶ σφραγίδι Χριστοῦ προκεκοιμημένων, φιλοχρίστων, ὀρθοδόξων, λαϊκῶν.

(1) Σισινίου, Ἰωάννου, Δαμάσου interlined after Μακαρίου.

PARIS MANUSCRIPT 2509.

PARIS MANUSCRIPT 476.

Χαρίτωνος, Παύλου, Παχωμίου, Ἀμμοῦν, Θεοδώρου, Ἱλαρίωνος, Ἀρσενίου, Μακαρίου, Ἰωάννου, Παμβών, Ποιμένος, Νείλου, Ἰσιδώρου, Ἐφραίμ, Συμεῶνος, Θεοδοσίου, Σάβα, Εὐθυμίου, Θεοκτίστου, Γερασίμου, Παντολέοντος, Μαξίμου, Ὀνουφρίου, Παφνουτίου, Ἀναστασίου, Κοσμᾶ, Ἰωάννου.

Μνήσθητι, Κύριε, τῶν ἁγίων πατέρων ἡμῶν τῶν ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων ἐν τῷ ὄρει τῷ Σινᾶ καὶ ἐν τῇ Ῥαιθῷ, καὶ τῶν λοιπῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀσκητῶν ὀρθοδόξων καὶ πάντων τῶν ἁγίων· οὐχ ὅτι ἡμεῖς ἐσμὲν ἄξιοι μνημονεύειν τῆς ἐκείνων μακαριότητος, ἀλλ' ἵνα καὶ αὐτοὶ παρεστῶτες τῷ φοβερῷ καὶ φρικτῷ σου βήματι ἀντιμνημονεύσωσι τῆς ἡμῶν ἐλεεινότητος.

Μνήσθητι, Κύριε, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ἐπορκιστῶν, ψαλτῶν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, ὀρφανῶν, ἐγκρατευομένων, καὶ τῶν ἐν σεμνῷ γάμῳ διαμεινάντων, καὶ τῶν μετὰ πίστεως ἐν τῇ κοινωνίᾳ τῆς ἁγίας σου καθολικῆς ἐκκλησίας τελειωθέντων.

Μνήσθητι, Κύριε, τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης, Θεοδοσίου τοῦ μεγάλου, Μαρκιανοῦ, Πουλχερίας, Λέοντος, Ἰουστινιανοῦ, Κωνσταντίνου, καὶ τῶν κατ' αὐτοὺς εὐσεβῶς καὶ πιστῶς βασιλευσάντων· καὶ πάντων τῶν ἐν πίστει καὶ σφραγῖδι Χριστοῦ προκεκοιμένων, φιλοχρίστων, ὀρθοδόξων, λαϊκῶν.

ROTULUS MESSANENSIS.

(1) *Καὶ ὀνομάζει τοὺς κοιμηθέντας.*

Μνήσθητι, Κύριε, τῶν ἡμετέρων γονέων,
(2) καὶ ἀδελφῶν, καὶ φίλων, καὶ συγγενῶν, καὶ
πάσης σαρκός, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ
ἐμνήσθημεν, ὀρθοδόξων· ἐκεῖ αὐτοὺς ἀνά-
(3) παυσον ἐν χώρᾳ ζώντων, ἐν βασιλείᾳ οὐρα-
νῶν, ἐν τρυφῇ παραδείσου, εἰς κόλπους
(4) Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐν σκηναῖς
τῶν δικαίων, ὅθεν ἀπέδρα ὀδύνη καὶ λύπη
καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ
προσώπου σου καὶ καταλάμπει διὰ παντός.
ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ
(5) εὐάρεστα, εἰρηνικὰ καὶ ἀναμάρτητα, κατεύ-
θυνον, Κύριε, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ
τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις
καὶ ὡς θέλεις, μόνον χωρὶς κατακρίσεως καὶ
(6) αἰσχύνης παραπτωμάτων·.........αὐτὸς γάρ
(a) ἐστιν μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

Ἐκφώνως. Ἐν πρώτοις μνήσθητι, Κύριε,
τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ πατριάρχου,
τοῦ Δ'., τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν
(7) πόλεως, καὶ τῶν σὺν αὐτῷ ἁγίων τεσσάρων
οἰκουμενικῶν, ὀρθοδόξων πατριαρχῶν, Βενε-
(b) δίκτου Ῥώμης, Νικολάου Κωνσταντινου-

CODEX ROSSANENSIS.

Μνήσθητι, Κύριε, τῶν ἡμετέρων γονέων
καὶ φίλων καὶ συγγενῶν καὶ ἰδίων, ἐν τῇ
βασιλείᾳ σου, τοῦ Δ'. καὶ τοῦ Δ'. [93 b]

Τούτων πάντων μνήσθητι, Κύριε ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων, ἀπὸ τοῦ Ἄβελ τοῦ δικαίου μέχρι τῆς σήμερον ἡμέρας· ἐκεῖ αὐτοὺς ἀνάπαυσον ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τρυφῇ τοῦ παραδείσου, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν ἁγίων πατέρων ἡμῶν· ὅθεν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου καὶ καταλάμπει διὰ παντός. ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα ἐν εἰρήνῃ κατεύθυνον, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις, μόνον χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ
Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· [94]
αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς (a)
ἐπὶ τῆς γῆς.

(1) There is a space here in the MS.

(2) *τούτων πάντων μνήσθητι, Κύριε, ὁ Θεὸς τῶν πνευμάτων* added in the margin after *συγγενῶν*.

(3) *τῇ* interlined. *σου* interlined. [*ἐν τῇ βα. σου οὐρανῶν.*]

(4) *τῶν πατέρων* interlined after *Ἰακώβ*.

(5) *ἀνώδυνα* interlined after *εὐάρεστα*. *ἐν εἰρήνῃ* interlined after *ἀναμάρτητα*.

(6) *διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ* interlined on an erasure. *ὁ* interlined before *μόνος*.

(7) *μεγάλων* interlined after *τεσσάρων*.

(*a*) This passage was in use in the time of Jerome. "Sacerdotum quotidie ora concelebrant *ὁ μόνος ἀναμάρτητος*, quod in lingua nostra dicitur, Qui solus est sine peccato." Lib. II. contr. Pelagianos c. 23 (tom. II. p. 771). See Palmer Orig. Lit. I. p. 30. The Benedictine editors of Jerome appear not to have been aware of the existence of the phrase in this Liturgy.

PARIS MANUSCRIPT 2509.

29 Μνήσθητι, Κύριε ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων, ἀπὸ Ἄβελ τοῦ δικαίου μέχρι τῆς σήμερον ἡμέρας· αὐτὸς ἐκεῖ αὐτοὺς ἀνάπαυσον, ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τῇ τρυφῇ τοῦ παραδείσου, ἐν τοῖς κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν ἁγίων πατέρων ἡμῶν, ὅθεν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου καὶ καταλάμπει διὰ παντός. ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα ἐν εἰρήνῃ κατεύθυνον, Κύριε, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις, μόνον χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δέ, Θεοῦ, καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

PARIS MANUSCRIPT 476.

Μνήσθητι, Κύριε, τῶν ἡμετέρων γονέων καὶ ἀδελφῶν, καὶ φίλων καὶ συγγενῶν.

Ἐνταῦθα μνημονεύει οὓς θέλει ὁ ἱερεὺς κεκοιμημένους χριστιανούς.

Τούτων πάντων μνήσθητι, Κύριε ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων· αὐτὸς ἐκεῖ αὐτοὺς ἀνάπαυσον, Κύριε, ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τῇ τρυφῇ τοῦ παραδείσου, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν ἁγίων πατέρων ἡμῶν, ὅθεν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου καὶ καταλάμπει διὰ παντός. ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς χριστιανὰ καὶ ἀναμάρτητα ἐν εἰρήνῃ κατεύθυνον, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις, μόνον χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

(*b*) [Benedict VII. was Pope of Rome from 974 to 983.

Nicolaus II. Chrysoberges was Patriarch of Constantinople from 983 to 997.

Agapius II. Patriarch of Alexandria from 985 to 997. (Another Agapius immediately preceded him according to some accounts.)

Elias was Patriarch of Alexandria for many years from 968.]

(1) In marg. inf. cod. hæc legitur rubrica: Ἐτέθη παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἡ εὐχὴ αὕτη πλατυτέρα, ζήτει κ. κ΄. [p. 166?]

ROTULUS MESSANENSIS.

πόλεως, Ἀγαπίου Ἀντιοχίας, καὶ Ἠλία τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ τοῦ Δ'., τοῦ ἀρχιεπισκόπου ἡμῶν, οὓς χάρισαι ταῖς
(1) ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σώ[ους].

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας τοῦ παντὸς κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ἐκφώνως. Δι' ὃν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Δεσπότης,

Ὁ λαός. Ἄνες, ἄφες, συγχώρησον, ὁ
(a) Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ τὰ ἐν ἀγνοίᾳ,

Ἐκφώνως ὁ ἱερεύς. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Εἶτα ὁ ἀρχιδιάκονος.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ.

(2) Καὶ ὑπὲρ τῶν προσκομισθέντων ἁγίων,

CODEX ROSSANENSIS.

Ὁ διάκονος.

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας παντὸς τοῦ κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ὁ λαός. Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς λέγει ἐκφωνῶν,

Δι' ὃν καὶ ἡμῖν καὶ αὐτοῖς, ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος Δεσπότης,

Ὁ λαός.

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεός, τὰ
παραπτώματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια, (a)
τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, γ'. (3)

Ὁ ἱερεὺς ἐκφώνως.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ ἀρχιδιάκονος λέγει,

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ [94 b]
Κυρίου δεηθῶμεν·

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγια-

---

(1) In the margins (one of which is partly eaten away): *ὁ ἀρχιδιάκονος προσφωνεῖ. ὑπὲρ εἰρήνης, ἐλέους, διαμονῆς καὶ ἀντιμισθίας τῶν ἁγίων πατέρων ἡμῶν, ὁ δεῖνα, ὁ δεῖνα, τῶν πατριαρχῶν ὀρθοδόξων, ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρός, ὁ δεῖνα, τοῦ ἐπισκόπου, καὶ λοιπῶν πατέρων ἡμῶν τῶν ἐν......τῇ οἰκουμένῃ ὀρ...... τὸν λόγον τῆς ἀληθείας, καὶ παν......τικου ὀρθοδοξ...... ...καὶ πάντων......εὐσεβούντων* (?) *ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. ἔτι ὑπὲρ πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ἑρμηνευτῶν, ἐπορκιστῶν, ψαλτῶν, μοναζόντων, ὑπὲρ ἀειπαρθένων, χηρῶν, ὀρφανῶν, ἐγκρατευομένων. καὶ τῶν ἐν σεμνῷ γάμῳ διαγόντων, τῶν φιλοχρίστων, ὀρθοδόξων, λαϊκῶν, καὶ ὧν ἔτι αὐτοί* (sic).

(2) *καὶ προαγιασθέντων ἐπουρανίων* added in the margin after *προσκομισθέντων*: and *τιμίων* after *ἁγίων*.

(3) The number γ' is added in another hand

PARIS MANUSCRIPT 2509.

(1) *Λέγει ὁ πρωτοδιάκονος*, Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας παντὸς κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος
P. 30 προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ὁ λαός. Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐκφωνεῖ, Δι' ὃν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος,

SR *Ὁ λαός.* Ἄνες, ἄφες, συγχώρησον, ὁ
(a) Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια,
(2) τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ τὰ ἐν ἀγνοίᾳ,

Ὁ ἱερεύς. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

SR *Ὁ λαός.* Καὶ τῷ πνεύματί σου.

(3) *Ὁ ἀρχιδιάκονος λέγει.*

Ἔτι καὶ ἔτι διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγια-

PARIS MANUSCRIPT 476.

Εἶτα ὁ διάκονος. Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας.

Εἶτα ἐκφωνεῖ ὁ ἱερεὺς πρὸς τὸν λαόν,

Δι' ὃν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος Δεσπότης,

Εἶτα λέγει ὁ λαὸς ἀπὸ τῶν ἐκτός,

Ἄνες, ἄφες.

Ὡσαύτως ὁ ἱερεὺς ἐκφωνεῖ μεγάλως,

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος συνάπτει, οὕτω λέγων μεγάλως,

Ἔτι καὶ ἔτι διὰ παντός.

Ὑπὲρ τῶν προκειμένων δώρων τοῦ Κυρίου δεηθῶμεν.

(a) Compare Chrys. ad Hebr. Hom. XVII. tom. XII. p. 166. *τί δέ ἐστιν Ἀνενεγκεῖν ἁμαρτίας; ὥσπερ ἐπὶ τῆς προσφορᾶς, ἣς ἀναφέρομεν, ἀναφέρομεν καὶ ἁμαρτήματα λέγοντες Εἴτε ἑκόντες εἴτε ἄκοντες ἡμάρτομεν συγχώρησον.*

(1) P. *ὁ διάκονος.* Mr Hammond puts this passage into a note, saying that it is clearly misplaced. All the MSS., however, have it here.

(2) P. reads *τὰ ἐν ἔργῳ καὶ λόγῳ· τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*

(3) P. *ὁ διάκονος.*

ROTULUS MESSANENSIS.

ἐπουρανίων, θείων δώρων, Κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν,

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου Πνεύματος αἰτησάμε-
(1) νοι, ἑαυτοὺς καὶ ἀλλήλους.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ὁ μεγαλώνυμος Κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθο-
(2) νος ἀγαθότης, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς
(3) ἀθανασίας, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί· τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας προσδεξάμενος, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας, ἀγαθέ, τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· ἁγίασον δή, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς

CODEX ROSSANENSIS.

σθέντων, τιμίων, ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, Κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν,

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, νοερὸν καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας,

Ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου αὐτοῦ καὶ προσκυνητοῦ Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ ἡμῶν παραθώμεθα.

Ὁ λαός. Σοί, Κύριε.

Ταῦτα τοῦ διακόνου ἀρχομένου λέγειν, ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ
καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ὁ με- [96]
γαλώνυμος Κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων Θεὸς καὶ Δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί· τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας προσεδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας, ἀγαθέ, τῇ χάριτι τοῦ Χριστοῦ σου καὶ τοῦ παναγίου σου Πνεύματος· ἁγίασον, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς καὶ τὰ

(1) The last four words are in the margin.

(2) ὁ πάντων Θεὸς καὶ Δεσπότης added in the margin before ἡ πηγὴ τῆς ζωῆς.

(3) τῶν αἰώνων interlined.

PARIS MANUSCRIPT 2509.

σθέντων τιμίων, ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν,
(1) θείων δώρων Κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, νοερὸν καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον,
(2) εἰς ὀσμὴν εὐωδίας, ἀντικαταπέμψῃ ἡμῖν τὴν
P. 31 θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου αὐτοῦ καὶ προσκυνητοῦ Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ
(3) τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται.

SR Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, ὁ μεγαλώνυμος Κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων Θεὸς καὶ Δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί· τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα,
(4) εἰς ὀσμὴν εὐωδίας προσεδέξω, καὶ ἁγιάσαι
SR καὶ τελειῶσαι κατηξίωσας, ἀγαθέ, τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· ἁγίασον, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς καὶ σώματα

PARIS MANUSCRIPT 476.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁ προσδεξά.

Τὴν ἑνότητα τῆς πίστεως.

Ὁ δὲ ἱερεὺς κλίνων λέγει τὴν εὐχήν.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μεγαλώνυμος Κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων Θεὸς καὶ Δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί· τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας προσεδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας, ἀγαθέ, τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· ἁγίασον, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς καὶ τὰ

(1) P. omits ἡμῶν.
(2) P. adds πνευματικῆς.
(3) In marg. inf. cod. hæc legitur rubrica: *Ἐτέθησαν παρὰ τῷ ἁγίῳ Βασιλείῳ αἱ αἰτήσεις αὗται συντομώτεραι, ζήτει κ. κβ'.* [pp. 166, 167.]
(4) P. adds πνευματικῆς.

ROTULUS MESSANENSIS.

καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ψηλά-
φησον τὰς διανοίας ἡμῶν, καὶ ἀνάκρινον τὰς
συνειδήσεις, καὶ ἔκβαλαι ἀφ' ἡμῶν πᾶσαν
ἔννοιαν πονηράν, πάντα λογισμὸν ἀσελγῆ,
πᾶσαν ἐπιθυμίαν αἰσχρὰν καὶ ἐνθύμησιν
βλαβεράν, πάντα λόγον ἀπρεπῆ, πάντα
φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν, πᾶν
ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν
βιωτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κακίαν,
πᾶσαν κενοδοξίαν, πάντα θυμόν, πᾶσαν
ὀργήν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασ-
(1) φημίαν, πᾶσαν ῥᾳθυμίαν, πᾶσαν φιλαργυ-
(2) ρίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύ-
ματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς
σῆς ἁγιότητος·

(3) Ἐκφώνως. Καὶ καταξίωσον ἡμᾶς, Δέ-
σποτα φιλάνθρωπε, μετὰ παῤῥησίας, ἀκα-
(4) τακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφω-
τισμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγια-
σμένοις χείλεσι, τολμᾶν ἐπικαλεῖσθαι σέ,
τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεὸν Πατέρα,
καὶ λέγειν,

Ὁ λαός. Πάτερ ἡμῶν.

(5) (a)

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
(6) Κύριε, Κύριε τῶν δυνάμεων, ὃν ὑπενεγ-
κεῖν οὐ δυνάμεθα, ὁ εἰδὼς τὴν ἀσθένειαν
ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ,

CODEX ROSSANENSIS.

σώματα καὶ τὰ πνεύματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλλε ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηράν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπι- [95 b] θυμίαν καὶ ἐνθύμησιν αἰσχράν, πάντα λόγον ἀπρεπῆ, πάντα φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν, πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιωτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κενοδοξίαν, πᾶσαν κακίαν, πάντα θυμόν, πᾶσαν ὀργήν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασφημίαν, πᾶσαν φιλαργυρίαν καὶ ῥαθυμίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου·

Ἐκφώνως. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, φιλάνθρωπε Κύριε, μετὰ παῤῥησίας, ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφωτισμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεὸν Πατέρα, καὶ (a) [96]
λέγειν,

Ὁ λαός. Πάτερ ἡμῶν.

Ὁ ἱερεὺς ἑστὼς λέγει καθ' ἑαυτόν,

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Κύριε, Κύριε τῶν δυνάμεων, ὃν ὑπερενεγκεῖν *sic* οὐ δυνάμεθα, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ ἐκ

(1) πᾶσαν μαλακίαν in the margin after βλασφημίαν.

(2) πᾶσαν φαρμακείαν interlined after φιλαργυρίαν.

(3) In a very different and sprawling hand in the right margin ἀντιλαβοῦ σῶ[σον]. τὴν ἡμέραν. συγγνώμην καὶ ἀ. τὸν ὑπόλοιπον. τὴν ἑνότητα τῆς πίσ. And in the left margin ἄγγελον εἰρήνης. τὰ καλά. Χριστιανά.

(4) Κύριε interlined after φιλάνθρωπε.

(5) In the margin in the same hand as above ἐκφών. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

(6) In the margin καὶ ὁ ἱερεὺς εὔχεται κλινόμενος.

PARIS MANUSCRIPT 2509.

καὶ τὰ πνεύματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηράν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν αἰσχράν, πάντα λογισμὸν ἀπρεπῆ, πάντα φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν, πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιωτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κενοδοξίαν, πᾶσαν ῥᾳθυμίαν, πᾶσαν κακίαν, πάντα θυμόν, πᾶσαν ὀργήν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασφημίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου·

'Ο *ἱερεὺς ἐκφωνεῖ.* Καὶ *καταξίωσον ἡμᾶς,*
P. 32 Δέσποτα *φιλάνθρωπε, μετὰ παῤῥησίας,*
S R S A *ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ συντετριμμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον* Θεὸν *Πα-*
(1) *τέρα, καὶ λέγειν,*

(a) S R S A 'Ο *λαός.* ΠΆΤΕΡ ΗΜΩ͂Ν, Ὁ ἘΝ ΤΟΙ͂C ΟΥ̓ΡΑΝΟΙ͂C.

'Ο *ἱερεὺς ἐπικλινόμενος λέγει,*

S R S A Καὶ *μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* Κύριε, Κύριε *τῶν δυνάμεων, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ τῶν ἔργων αὐτοῦ, καὶ πάσης*

PARIS MANUSCRIPT 476.

σώματα καὶ τὰ πνεύματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλε ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηράν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν καὶ ἐνθύμησιν αἰσχράν, πάντα λογισμὸν ἀπρεπῆ, πάντα φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν, πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιωτικόν, πᾶσαν πλεονεξίαν, πᾶσαν κακίαν, πάντα θυμόν, πᾶσαν ὀργήν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασφημίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου·

'Ο *ἱερεὺς βάλλει θυμίαμα καὶ ἐκφωνεῖ μεγάλως,*

Καὶ *καταξίωσον ἡμᾶς,* Δέσποτα *φιλάνθρωπε,* Κύριε, *μετὰ παῤῥησίας, ἀκατακρίτους, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφωτισμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾶν ἐπικαλεῖσθαι σέ, τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον* Θεὸν Πατέρα, *καὶ λέγειν,*

'Ο *δὲ λαὸς τὸ* ΠΆΤΕΡ ΗΜΩ͂Ν. (a)

Καὶ *ὁ ἱερεὺς ἱστάμενος λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην ἐπευχόμενος,*

Καὶ *μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* Κύριε, Κύριε *τῶν δυνάμεων, ὃν ὑπενεγκεῖν οὐ δυνάμεθα, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ*

(*a*) The Lord's prayer was certainly used at Antioch in the time of Chrysostom. See In Genesim, Hom. XXVII. tom. IV. p. 268: *Ἂν τοῦτο κατορθώσωμεν, δυνησόμεθα μετὰ καθαροῦ συνειδότος καὶ τῇ ἱερᾷ ταύτῃ καὶ φρικτῇ τραπέζῃ προσελθεῖν, καὶ τὰ ῥήματα ἐκεῖνα τὰ τῇ εὐχῇ συνεζευγμένα μετὰ παῤῥησίας φθέγξασθαι. Ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον.*

(1) In marg. inf. cod. hæc legitur rubrica: *Ἐτέθη παρὰ τῷ ἁγίῳ* Βασιλείῳ *ἡ ἐκφώνησις αὕτη μετὰ καὶ τοῦ* Πάτερ *ἡμῶν, ζήτει κ. κγ'.* [pp. 85, 167.]

ROTULUS MESSANENSIS.

καὶ ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ πάσης ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμε-
(1) τέραν ταπείνωσιν·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

Εἰρήνη πᾶσιν.

(2) Εἶτα ὁ ἀρχιδιάκονος. Τὰς κεφαλάς.

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου, Κύριε, τοὺς ἑαυτῶν αὐχένας, ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ
(3) πλούσια ἐλέη· πλουσίαν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρ-
(4) τιῶν·

Ἐκφώνησις, Σὺ γὰρ προσκυνητὸς εἶ καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καί.

Ἐκφών. Β′. Καὶ ἔσται ἡ χάρις καὶ τὰ

CODEX ROSSANENSIS.

τῶν ἔργων αὐτοῦ, καὶ πάσης ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, καὶ τέχνης καὶ ἀπάτης αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν·

Ἐκφώνως. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλάς.

Ὁ ἱερεὺς κλίνων ἐπεύχεται·

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου, Κύριε, τοὺς ἑαυτῶν αὐχένας, ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· πλουσίαν καὶ νῦν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον ἡμῶν τὰς
ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα [96 b]
ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον·

Ἐκφώνως. Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Καὶ πάλιν ὁ ἱερεὺς ἱστάμενος σφραγίζει τὰ δῶρα, ἐκφωνῶν,

Καὶ ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς ἁγίας

(1) ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν added in the margin, and ἐκφών. in the other margin before ὅτι σοῦ.

(2) In the margin καὶ εὔχεται ὁ ἱερεὺς κλίνων, λέγων.

(3) Before τὴν there seems to have been interlined καὶ νῦν.

(4) καὶ εἰς ζωὴν τὴν αἰώνιον apparently added.

PARIS MANUSCRIPT 2509.

ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν·

Ἐκφώνησις, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ ἀρχιδιάκονος λέγει, Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός. Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐπεύχεται λέγων οὕτως·

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου, Κύριε, τοὺς ἑαυτῶν αὐχένας, ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· πλουσίαν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον·

Ἐκφώνησις. Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνεῖ,

Καὶ ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς ἁγίας

PARIS MANUSCRIPT 476.

ἐκ τῶν ἔργων αὐτοῦ, καὶ πάσης ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν·

Εἶτα ἐκφωνεῖ, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ.

Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην κλίνων·

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου, Κύριε, τοὺς ἑαυτῶν αὐχένας, ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· πλουσίαν καὶ νῦν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν, Δέσποτα, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον·

Ἐκφωνεῖ ὁ ἱερεὺς ἔξω,

Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐπισυνάπτει καὶ ταύτην τὴν ἐκφώνησιν·

Καὶ ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς

(1) P. ὁ διάκονος.

(2) Dr Neale without any authority inserted here the prayer Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός (see below p. 323) and is followed by Mr Hammond. Dr Daniel follows the edition of Morel, which agrees with the Paris MS. 2509.

(3) P. τοὺς ἡμετέρους αὐχένας.

ROTULUS MESSANENSIS.

(1) ἐλέη τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυ-
νητῆς Τριάδος μετὰ πάντων ἡμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

(2) Ὁ διάκονος. Πρόσχωμεν.

(3) Ὁ ἱερεὺς ὑψῶν τὸν ἄρτον εὔχεται,

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε,
ὁ Θεὸς ἡμῶν, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς
σῆς χάριτος καὶ τῇ ἐπιφοιτήσει τοῦ πανα-
(4) γίου σου Πνεύματος· σὺ γὰρ εἶπας, Ἅγιοι
ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι, Κύριε ὁ Θεὸς
(5) ἡμῶν. Ἀκατάληπτε, Θεέ, Λόγε, τῷ Πατρὶ
καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσιε, συναΐδιε,
καὶ ἀχώριστε, πρόσδεξαι τὸν ἀκήρατον
ὕμνον ἐν ταῖς ἁγίαις σου καὶ ἀναιμάκτοις
θυσίαις, σὺν τοῖς χερουβὶμ καὶ σεραφίμ,
καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, βοῶντος καὶ
λέγοντος·

Ἐκφώνησις ὁ ἱερεύς·

(a) Τὰ ἅγια τοῖς ἁγίοις.

(6) Ὁ λαός. Εἷς ἅγιος.

(7) Ὑπὲρ σωτηρίας, καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρὸς ἡμῶν, τοῦ Δ'., παντὸς τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου λαοῦ.

CODEX ROSSANENSIS.

καὶ ὁμοουσίου, ἀκτίστου καὶ ἀδιαιρέτου, καὶ προσκυνητῆς Τριάδος, μετὰ πάντων ὑμῶν.

Ὁ λαός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος. Μετὰ φόβου Θεοῦ πρόσ-σχωμεν.

Ὁ ἱερεὺς ὑψῶν τὸν ἄρτον λέγει καθ' ἑαυτόν,

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· σὺ γὰρ εἶπας, Δέσποτα, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι, Κύριος ὁ Θεὸς ὑμῶν.

Καὶ συνάπτει. Ἀκατάληπτε, Θεέ, Λόγε, [97]
τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι ὁμοούσιε, συναΐδιε, καὶ ἀχώριστε, πρόσδεξαι τὸν ἀκήρατον ὕμνον ἐν ταῖς ἁγίαις σου ἀναιμάκτοις θυσίαις, σὺν τοῖς χερουβὶμ καὶ σεραφίμ, καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, βοῶντος καὶ λέγοντος·

Εἶτα ἐκφωνεῖ,

Τὰ ἅγια τοῖς ἁγίοις. (a)

Ὁ λαός. Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, σὺν ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος λέγει,

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν καὶ
ἱλασμοῦ τῶν ψυχῶν ἡμῶν, καὶ ὑπὲρ σωτη- (8)
ρίας καὶ ἀντιλήψεως τοῦ Δ'., τοῦ ἁγιωτάτου

---

(1) *ἀκτίστου καὶ ἀδιαιρέτου* in the margin after *ὁμοουσίου*.

(2) Prefixed in the margin *Μετὰ φόβου Θεοῦ*.

(3) *σφραγίζων καθ' ἑαυτόν* added.

(4) *Δέσποτα* interlined after *εἶπας*.

(5) *παναγίῳ σου* interlined (for *ἁγίῳ*).

(6) Filled up thus in the margin: *εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, σὺν ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

(7) Prefixed in the margin *Τὴν ἐκτενῆ ὁ διάκον.ς.*

(8) The MS. has *ἱλασμόν*.

ROTULUS MESSANENSIS.

(1) Ἔτι δὲ καὶ ὑπὲρ σωτηρίας καὶ ἀφέσεως ἁμαρτιῶν τῷ προσενέγκαντι ἀδελφῷ ἡμῶν.

Καὶ ὑπὲρ μνήμης τῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀδελφῶν, εἴπωμεν πάντες ἐκτενῶς.

(a) *Καὶ μελίζων ὁ ἱερεύς, κρατῶν τὸ ἥμισυ τῇ δεξιᾷ, βάπτει πρῶτον εἰς τὸ ποτήριον τῆς δεξιᾶς λέγων,*

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ.

Εἶτα σφραγίζει τὸ τῆς ἀριστερᾶς, καὶ ἄρχεται μελίζειν, καὶ πρὸ πάντων διδοῖ εἰς ἕκαστον κρατῆρα μερίδα διπλῆν, λέγων,

(2) Ἥνωται, καὶ ἡγίασται, καὶ τετελείωται εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ
(3) τοῦ ἁγίου Πνεύματος.

(1) *τοῦ Κυρίου δεηθῶμεν* in the margin.

(2) *τὸ θεῖον μυστικὸν δῶρον* interlined after *τετελείωται*.

(3) Added by interlineations and in the margin, *καὶ ὅτε πληρώσῃ μελίζειν καὶ μετὰ τὸ πληρῶσαι τὸν διάκονον, Δόξα Πατρί, καί, Κύριε, εὐλόγησον, λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Κύριος, ὁ εὐλογῶν καὶ ἁγιάζων ἡμᾶς τοὺς ἐν φόβῳ(?) μελίζοντας καὶ πάντας τοὺς ἐν πίστει μεταλαμβάνοντας, νῦν καὶ ἀεί.*

CODEX ROSSANENSIS.

ἡμῶν πατριάρχου, καὶ ὑπὲρ πάσης ψυχῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ἰάσεως τῶν ἀσθενούντων, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως [97 b]
τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πάντες ἐκτενῶς εἴπωμεν, Κύριε, ἐλέησον.

Ὁ λαὸς τό, Κύριε, ἐλέησον.

Εἶτα κλᾷ τὸν ἄρτον ὁ ἱερεύς, καὶ κρατεῖ τῇ (a)
δεξιᾷ τὸ ἥμισυ καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάπτει τὸ τῆς δεξιᾶς ἐν τῷ κρατῆρι, λέγων,

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ.

Καὶ σφραγίζει τὸ τῆς ἀριστερᾶς ἥμισυ, εἶτα λαβὼν τὸ ἥμισυ τῆς ἀριστερᾶς καὶ κρατεῖ ἐν τῇ δεξιᾷ χειρὶ καὶ βάπτει ἐν τῷ κρατῆρι καὶ λέγει,

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ.

Καὶ εὐθέως ἄρχεται μελίζειν, καὶ πρὸ πάντων διδόναι εἰς ἕκαστον κρατῆρα μίαν μερίδα ἁπλῆν, λέγων,

Ἥνωται, καὶ ἡγίασται, καὶ τετελείωται [98]
τὰ ἅγια δῶρα ταῦτα, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

Εὐχὴ μεταλαμβάνοντος τοῦ ἱερέως.

Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ τροφὴ τοῦ παντὸς κόσμου, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος μεταλαμβάνειν τοῦ ἁγίου ἀχράντου σου μυστηρίου, ἀλλὰ διὰ τὴν σὴν ἀγαθὴν καὶ ἄφατον μακροθυμίαν, ἄξιόν με ποίησον ἀκατακρίτως καὶ ἀνεπαισχύντως μετασχεῖν τοῦ παναγίου σώματος καὶ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

PARIS MANUSCRIPT 2509.

πονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ἰάσεως τῶν ἀσθενούντων, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πάντες ἐκτενῶς εἴπωμεν, Κύριε, ἐλέησον.

Ὁ λαὸς, Κύριε, ἐλέησον, δώδεκα.

(a) *Εἶτα κλᾷ τὸν ἄρτον ὁ ἱερεὺς, καὶ κρατεῖ τῇ δεξιᾷ τὸ ἥμισυ καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάπτει τὸ τῆς δεξιᾶς ἐν τῷ κρατῆρι, λέγων,*

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ.

Καὶ σφραγίζει τὸ τῆς ἀριστερᾶς· εἶτα τούτῳ τῷ ἐσφραγισμένῳ τὸ ἄλλο ἥμισυ· καὶ εὐθέως ἄρχεται μελίζειν· καὶ πρὸ πάντων διδόναι εἰς ἕκαστον κρατῆρα [μερίδα] ἁπλῆν, λέγων,

Ἥνωται καὶ ἡγίασται καὶ τετελείωται, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

PARIS MANUSCRIPT 476.

Εἶτα ὁ διάκονος τὴν ἐκτενῆ. Καὶ ὁ ἱερεὺς κλᾷ τὸν ἄρτον. Καὶ κρατεῖ τῇ δεξιᾷ χειρὶ τὸ ἥμισυ καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάπτει τὸ τῆς δεξιᾶς χειρὸς ἐν τῷ κρατῆρι λέγων, (a)

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ.

Καὶ σφραγίζει. ✠ *Καὶ τὸ ἐν τῇ ἀριστερᾷ χειρὶ ὡσαύτως καὶ τοὺς λοιποὺς ἄρτους.* ✠ ✠ *Καὶ εὐθέως ἄρχεται τοῦ μελίζειν καὶ πρὸ πάντων βάλλει εἰς ἕκαστον κρατῆρα μίαν μερίδα ἁπλῆν, λέγων,*

Ἥνωται καὶ ἡγίασται καὶ τετελείωται τὸ θεῖον καὶ μυστικὸν δῶρον, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

(a) The breaking of the bread is referred to in Chrysostom's Homily on 1 Cor. xxiv. tom. x. p. 213.

ROTULUS MESSANENSIS.

Τῆς κατὰ φιλανθρωπίαν παρασχεθείσης ἡμῶν θείας χάριτος τὰ ὑπὲρ ἡμᾶς ἐτολμήσαμεν. Προσερχόμεθα οὖν μετὰ φόβου τοῖς ἁγίοις σου μυστηρίοις, Δέσποτα, αἰτούμενοι, εἴ τι δι' ἀνθρωπίνην ἀσθένειαν ἡμῖν παρῶπται, συγγνώμων γενοῦ, Κύριε ὁ Θεὸς ἡμῶν.

CODEX ROSSANENSIS.

Καὶ ὅταν σφραγίζει τὸν ἄρτον λέγει, sic

Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, σφαγιασθεὶς ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.

Καὶ ὅταν πρὸ πάντων διδοῖ μερίδα ἁπλῆν λέγει,

Μερὶς ἁγία Χριστοῦ, πλήρης θείας χάριτος καὶ ἀληθείας, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

Καὶ ὅταν ἄρχεται μελίζειν, λέγει, sic

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Εὐλογήσω τὸν Κύριον.

Αἰνεῖτε τὸν Θεόν.

Ὁ διάκονος. Κύριε, εὐλόγησον.

Καὶ λέγει ὁ ἱερεύς, Ὁ Κύριος εὐλογήσει καὶ ἀκατακρίτους ἡμᾶς διατηρήσει ἐπὶ τῇ μελίσει τῶν ἀχράντων αὐτοῦ δωρεῶν, καὶ ἀξιώσειεν ἅπαντας εὔχεσθαι καὶ ψάλλειν [96 b] τὴν ἱερὰν ψαλμωδίαν ἐνώπιον τῆς αἰωνίου καὶ ἀδιαδόχου αὐτοῦ βασιλείας καὶ κυριότητος, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Καὶ ὅταν πληρώσωσιν, λέγει ὁ διάκονος,

Κύριε, εὐλόγησον.

Ὁ ἱερεύς. Ὁ Κύριος εὐλογήσει· καὶ ἀξιώσειεν ἡμᾶς ἁγναῖς ταῖς τῶν δακτύλων τῶν ψυχῶν λαβίσιν ἀναλαβεῖν τὸν ἐμπύρινον ἄνθρακα, καὶ ἐπιθῆναι τοῖς τῶν πιστῶν στόμασιν, εἰς καθαρισμὸν καὶ ἀνακαινισμὸν τῶν ψυχῶν αὐτῶν καὶ σωμάτων, νῦν καὶ ἀεί, καὶ εἰς τούς. sic

Ἄλλη εὐχὴ τοῦ ἱερέως.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος,

PARIS MANUSCRIPT 2509.

Καὶ ὅταν σφραγίζῃ τὸν ἄρτον λέγει,

(1) Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, σφαγιασθεὶς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ ὅταν διδῷ μερίδα ἁπλῆν εἰς ἕκαστον κρατῆρα, λέγει,

Μερὶς ἁγία Χριστοῦ, πλήρης χάριτος καὶ ἀληθείας, Πατρὸς καὶ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἄρχεται μελίζειν καὶ λέγειν,

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστε-
(2) ρήσει.

Εἶτα·

Εὐλογήσω τὸν Κύριον ἐν παντί.

(3) *Εἶτα·*

(4) Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὁ *διάκονος.* Κύριε, εὐλόγησον.

Ὁ *ἱερεύς.* Ὁ Κύριος εὐλογήσει, καὶ ἀκατακρίτους ἡμᾶς διατηρήσει ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων αὐτοῦ δωρεῶν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Καὶ ὅταν πληρώσωσι, λέγει ὁ διάκονος,

Κύριε, εὐλόγησον.

Ὁ *ἱερεὺς λέγει,*

Ὁ Κύριος εὐλογήσει, καὶ ἀξιώσει ἡμᾶς ἁγναῖς ταῖς τῶν δακτύλων λαβαῖς λαβεῖν τὸν πύρινον ἄνθρακα, καὶ ἐπιθεῖναι τοῖς τῶν πιστῶν στόμασιν, εἰς καθαρισμὸν καὶ ἀνακαινισμὸν τῶν ψυχῶν αὐτῶν καὶ τῶν σωμάτων, νῦν καὶ ἀεί.

(5) *Εἶτα γίνεται εὐχὴ ἑτέρα.*

sic Γεύσασθε, καὶ ἴδετε, ὅτι Χριστὸς ὁ

PARIS MANUSCRIPT 476.

[In the time of Chrysostom they sang part of the 145th Psalm. In his comment upon it (tom. v. p. 466) he begins *οὗτός [ὁ ψαλμός] ἐστιν ὁ τὰ ῥήματα ἔχων ταῦτα ἅπερ οἱ μεμυημένοι συνεχῶς ὑποψάλλουσι λέγοντες, Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.*]

Καὶ ποιεῖ διπλᾶς μερίδας ἑκάστων κλήρων καὶ βάπτει εἰς τὸν κρατῆρα. Καὶ ὅταν πληρώσῃ τοῦ μελίζειν, καὶ πληρωθῇ καὶ ὁ ψαλμός, λέγουσιν οἱ διάκονοι,

Κύριε, εὐλόγησον.

Ὁ *ἱερεύς.* Εὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων ἡμᾶς τοὺς ἐν φόβῳ Θεοῦ μελίζοντας, καὶ πάντας τοὺς ἐν πίστει μεταλαμβάνειν μέλλοντας τῶν ἀχράντων μυστηρίων τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) P. adds after *τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός.*

(2) P. adds to each *καὶ τὰ ἑξῆς.*

(3) P. adds here *εἶτα. Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς. καὶ τὰ ἑξῆς.*

(4) I.e. Ps. 150. But P. has *αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη*, i.e. Ps. 116.

(5) P. simply *εἶτα.*

ROTULUS MESSANENSIS.	CODEX ROSSANENSIS.
	ὁ μελιζόμενος καὶ μὴ μεριζόμενος, καὶ πᾶσι τοῖς πιστοῖς μεταδιδόμενος καὶ μὴ δαπανώμενος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, νῦν καὶ ἀεί, καί.
	Ὁ διάκονος λέγει, Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.
	Οἱ ψάλται λέγουσι κοινωνι[κόν].
Ἄρχονται δὲ οἱ ψάλται τὸ Γεύσασθε. Καὶ κοινωνεῖ ὁ ἱερεύς, καὶ ὁ κλῆρος. Ὅτε δὲ αἴρει ὁ (1) διάκονος τὸν δίσκον, λέγει Κύριε, εὐλόγησον.	Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Ἀλληλούϊα.
	Ὁ ἱερεὺς ἐπεύχεται εὐχὴν τῆς μεταλήψεως πρὸ τοῦ μεταλαβεῖν.
	Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ τροφὴ τοῦ παντὸς κόσμου, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων· ἀλλὰ διὰ τὴν σὴν ἀγαθότητα καὶ ἄφατον μακροθυμίαν ἄξιόν με ποίησον καὶ ἀκατάκριτον καὶ ἀνεπαίσχυντον μετασχεῖν τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. [99]
	Καὶ μεταδιδοῖ τῷ κλήρῳ· ὅτε δὲ ἐπαίρουσιν (a) οἱ διάκονοι τοὺς δίσκους καὶ τοὺς κρατῆρας εἰς τὸ μεταδιδόναι τῷ λαῷ, λέγει ὁ διάκονος ὁ αἴρων τὸν πρῶτον δίσκον,
Καὶ λέγει ὁ ἱερεύς,	Κύριε, εὐλόγησον.
Δόξα τῷ Θεῷ, τῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.	Ὁ ἱερεὺς λέγει, Δόξα τῷ Θεῷ, τῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.
	Καὶ λέγει ὁ διάκονος,
	Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ [99 b] βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(1) In the margin, apparently belonging to this action, Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PARIS MANUSCRIPT 2509.

Κύριος, ὁ μελιζόμενος καὶ μὴ μεριζόμενος, καὶ τοῖς πιστοῖς μεταδιδόμενος καὶ μὴ δα-
P. 38 πανώμενος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

(1) Ὁ *ἀρχιδιάκονος.* Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.

Οἱ *ψάλται.* Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος.

Ὁ *ἱερεὺς εὐχὴν πρὸ τῆς μεταλήψεως.*

Κύριος ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ ζωὴ τοῦ παντός, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἀχράντων σου μυστηρίων· ἀλλ' ὡς εὔσπλαγχνος Θεός, ἀξίωσόν με τῇ χάριτί σου ἀκατακρίτως μετασχεῖν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος, εἰς ἄφεσιν
(2) ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

(a) *Εἶτα μεταδίδωσι τῷ κλήρῳ· ὅτε δὲ ἐπαίρουσιν οἱ διάκονοι τοὺς δίσκους καὶ τοὺς κρατῆρας εἰς τὸ μεταδοῦναι τῷ λαῷ, λέγει ὁ διάκονος αἴρων τὸν πρῶτον δίσκον,*

Κύριε, εὐλόγησον.

Ἀποκρίνεται ὁ ἱερεύς,

Δόξα τῷ Θεῷ τῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.

Λέγει ὁ διάκονος,

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PARIS MANUSCRIPT 476.

Καὶ μετὰ τοῦτο λέγει τὴν εὐχὴν τῆς μεταλήψεως.

Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ τροφὴ τοῦ παντὸς κόσμου, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων· ἀλλὰ διὰ τὴν σὴν ἀγαθότητα καὶ ἄφατον μακροθυμίαν ἄξιόν με ποίησον ἀκατακρίτως καὶ ἀνεπαισχύντως μετασχεῖν τοῦ παναγίου σώματός σου καὶ τοῦ τιμίου αἵματος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Εἶτα μεταλαμβάνει καὶ μεταδίδωσι καὶ τῷ κλήρῳ, λέγων οὕτως ὁ ἱερεύς, (a)

Σῶμα ἅγιον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, τοῖς πιστοῖς μεταδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Καὶ ὅτε ἐπάρῃ ὁ διάκονος τὸν δίσκον, λέγει ὁ ἱερεὺς ἡσύχως, οὐ γὰρ ἐκφωνεῖ μέγα,

Δόξα τῷ Θεῷ, τῷ εὐλογοῦντι καὶ ἁγιάζοντι ἡμᾶς διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων αὐτοῦ μυστηρίων, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιλέγει ὡσαύτως καὶ ταύτην τὴν εὐχὴν εὐχαριστῶν, (b)

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

(1) P. *ὁ διάκονος.*

(2) Dr Neale (followed by Mr Hammond) inserted here [*καὶ μεταλαμβάνει*].

(*a*) [Thus the deacons distributed as in the time of Chrysostom (Hom. LXXXII. in Mat. tom. VII. p. 789). Yet the communicants drew near to the table (In diem Natalem D. N. J. Christi tom. II. p. 364 E). They received the sacrifice in their hands. (Hom. XX. ad Pop. Ant. tom. II. p. 210.)]

(*b*) MS. *εὐχάριστον.* Possibly = *εὐχαριστήριον.*

ROTULUS MESSANENSIS.

Καὶ προστιθεῖ,

(1) Εὐλογητὸν τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν.

(2) *Προσφωνεῖ ὁ διάκονος,*

Μετὰ πίστεως καὶ φόβου Θεοῦ προσέλθετε.

Καὶ μετὰ τὸ κοινωνῆσαι τὸν λαόν, ἄρχονται
(3) *οἱ ψάλται,*

Πληρωσον τὸ στόμα μου αἰνέσεως, Κύριε,
(4) καὶ χάριτος.

(1) Added in the margin *Εἴη τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν εὐλογητὸν εἰς τοὺς αἰῶνας.*

(2) This is in the margin.

(3) These words are very much abbreviated. I follow Monaldinius.

(4) There is here added in the modern hand *Καὶ ψάλλουσιν, Εὐχαριστοῦμέν σοι, Χριστέ. Καὶ εὐθὺς ὁ διάκονος.* But in the left-hand margin this, in a very difficult writing,

Εὐχὴ ἐν τῷ θυμιάζειν.

Ηὔφρανας ἡμᾶς ἐν τῇ εὐωδίᾳ σου, καὶ σοὶ προσφέρομεν ὕμνον χαριστήριον, καρπὸν χειλέων ὁμολογούντων τὴν χάριν σου· σὺν τῷ θυμιάματι τούτῳ ἀναβήτω δὴ πρὸς σέ, ὁ Θεός· καὶ μὴ ἀποστραφείη διὰ κενῆς, ἀλλὰ χάρισαι ἡμῖν διὰ τὴν εὐωδίαν τοῦ παναγίου σου Πνεύματος, τὸ μύρον τὸ ἄχραντον καὶ ἀναφαίρετον· καὶ πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως, καὶ τὰ χείλη ἡμῶν ἀγαλλιάσεως, καὶ τὴν καρδίαν χάριτος εὐφροσύνης, ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ πρέπει δόξα, τιμή, κράτος.

Then follows a prayer still more difficult to read.

Ὁ γεινόμενος ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισε-

CODEX ROSSANENSIS.

Καὶ ὅτε μέλλει ὁ διάκονος τιθέναι εἰς τὴν τράπεζαν, λέγει ὁ ἱερεύς,

Εὐλογητὸν τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος λέγει, Μετὰ φόβου Θεοῦ προσέλθετε.

Πάλιν, ὅτε ἐπαίρει ὁ διάκονος ἐκ τῆς παρατραπέζης, λέγει,

Κύριε, εὐλόγησον.

Ὁ ἱερεύς. Δόξα τῷ Θεῷ ἡμῶν τῷ ἁγιάσαντι πάντας ἡμᾶς.

Καὶ ὅταν θῇ ἐκ τῆς ἁγίας τραπέζης, λέγει ὁ ἱερεύς,

Εἴη τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν εὐλογημένον εἰς τοὺς αἰῶνας.

Καὶ λέγουσιν οἱ διάκονοι καὶ ὁ λαός,

Πλήρωσον τὸ στόμα μου αἰνέσεως, Κύριε, καὶ χαρᾶς ἔμπλησον τὰ χείλη μου, ὅπως ἀνυμνήσω τὴν δόξαν σου.

Καὶ πάλιν λέγουσιν,

Εὐχαριστοῦμέν σοι, Χριστέ, ὁ Θεὸς ἡμῶν,
ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τοῦ σώματος [100]
καὶ αἵματός σου εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον· ἀκατακρίτους ἡμᾶς διαφύλαξον, δεόμεθα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, ποιεῖ ὁ ἱερεὺς εὐχὴν θυμιάματος εἰς τὴν ἐσχάτην εἴσοδον.

Εὔφρανας ἡμᾶς, ὁ Θεός, ἐν τῇ ἑνώσει σου, καὶ σοὶ προσφέρομεν ὕμνον χαριστήριον, καρπὸν χειλέων ὁμολογούντων τὴν

δέκ, Κύριος *ὁ Θεὸς ἡμῶν, ὁ προσφέρων καὶ προσφερόμενος καὶ τὴν θυσίαν προσδεχόμενος, πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου, χάριτι.* Καὶ εὐθὺς *οἱ ψάλται·* Εὐχαριστοῦμέν σοι.

PARIS MANUSCRIPT 2509.

Καὶ ὅτε μέλλει ὁ διάκονος τιθέναι εἰς τὸ παρατράπεζον, λέγει ὁ ἱερεύς,

Εὐλογητὸν τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν, εἰς τοὺς αἰῶνας.

(1) *Ὁ διάκονος.* Μετὰ φόβου Θεοῦ προσ-
(2) έλθετε.

P. 37 *Καὶ πάλιν, ὅτε ἐπαίρει τὸν δίσκον ἀπὸ τοῦ παρατραπέζου, λέγει,*

Κύριε, εὐλόγησον.

(3) *Ὁ ἱερεὺς λέγει,*

Δόξα τῷ Θεῷ ἡμῶν, τῷ ἁγιάσαντι πάντας ἡμᾶς.

(4) *Καὶ ὅταν ἀποθῆται αὐτὸν εἰς τὴν ἁγίαν τράπεζαν, λέγει ὁ ἱερεύς,*

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λέγουσιν οἱ διάκονοι καὶ ὁ λαός,

(5) Πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως, Κύριε, καὶ χαρᾶς ἔμπλησον τὰ χείλη ἡμῶν, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου.

Καὶ πάλιν·

SR Εὐχαριστοῦμέν σοι, Χριστέ, ὁ Θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τοῦ σώματος καὶ αἵματός σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· ἀκατακρίτους ἡμᾶς φύλαξον, δεόμεθα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εὐχὴ θυμιάματος εἰς τὴν ἐσχάτην εἴσοδον.

Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων καὶ

PARIS MANUSCRIPT 476.

Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ θυμιάματος μυστικῶς.

Εὔφρανας ἡμᾶς, ὁ Θεός, ἐν τῇ ἑνώσει σου, καὶ σοὶ προσφέρομεν ὕμνον χαριστήριον, καρπὸν χειλέων ὁμολογούντων τὴν χάριν σου· σὺν τῷ θυμιάματι τούτῳ ἀναβήτω δὴ πρὸς σέ, ὁ Θεός, καὶ μὴ ἀποστραφείη διὰ κενῆς, ἀλλὰ χάρισαι ἡμῖν δι' αὐτοῦ τὴν εὐωδίαν τοῦ παναγίου σου Πνεύματος· πλήρωσον τὸ στόμα ἡμῶν ἀγαλλιάσεως, καὶ τὰ χείλη αἰνέσεως, καὶ τὴν καρδίαν χαρᾶς καὶ εὐφροσύνης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ διάκονος λέγει μεγαλοφώνως,

Εὐχαριστοῦμεν σοί, Χριστέ, ὁ Θεός. Ὀρθοί, μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων.

(1) P. *Μετὰ φόβου Θεοῦ καὶ πίστεως καὶ ἀγάπης προσέλθετε.*

(2) P. adds *ὁ λαός, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

(3) P. thus *Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ὁ ἱερεὺς πάλιν. Δόξα.*

(4) For *αὐτὸν* (*αὐτὸ*) P. reads *τὸ ποτήριον.*

(5) P. *αἰνέσεώς σου* and adds at the end *ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.*

ROTULUS MESSANENSIS.

(1) Ὀρθοί, οἱ μεταλαβόντες τῶν ἁγίων, ἀχράντων, καὶ ζωοποιῶν μυστηρίων ἐπὶ ἀφέσει τῶν ἁμαρτιῶν ἡμῶν, δεηθῶμεν,

(2) Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν καὶ δωρεὰν τοῦ ἁγίου.

Τῆς παναγίας καὶ ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσαντες, ἑαυτούς τε καὶ ἀλλήλους καί.

(1) In the margin ἄλλο. Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ.

CODEX ROSSANENSIS.

χάριν σου· σὺν τῷ θυμιάματι τούτῳ ἀναβήτω δὴ πρὸς σέ, ὁ Θεός, καὶ μὴ ἀποστραφείη διὰ κενῆς, ἀλλὰ χάρισαι ἡμῖν δι' αὐτοῦ τὴν εὐωδίαν τοῦ παναγίου σου Πνεύματος, τὸ μύρον τὸ ἄχραντον καὶ ἀναφαίρετον· πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως, καὶ τὰ χείλη ἀγαλλιάσεως, καὶ τὴν καρδίαν χαρᾶς καὶ εὐφροσύνης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεί.

Ἄρχεται ὁ διάκονος εἰς τὴν εἴσοδον.

Δόξα σοι, δόξα σοι, δόξα σοι, Χριστὲ [100 b]
βασιλεῦ, μονογενές, Λόγε τοῦ Πατρός, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου ἐν ἀπολαύσει γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Δόξα σοι.

Καὶ ὅταν ποιεῖ τὴν εἴσοδον, λέγει ὁ διάκονος,

Ἔτι καὶ ἔτι, διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν·

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν καὶ δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν θείων καὶ πανευφήμων ἀποστό-
λων, ἐνδόξων προφητῶν, ἀθλοφόρων καὶ [101]
μαρτύρων, μετὰ πάντων τῶν ἁγίων καὶ

(2) Πνεύματος δεηθῶμεν in the margin.

PARIS MANUSCRIPT 2509. | **PARIS MANUSCRIPT 476.**

ἀχράντων σου μυστηρίων, καὶ προσφέρομέν σοι τὸ θυμίαμα τοῦτο, δεόμενοι, φύλαξον ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ καταξίωσον ἡμᾶς μέχρι τῆς ἐσχά-
38 της ἡμῶν ἀναπνοῆς μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς βασιλείας οὐρανῶν κληρονομίαν· ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, ὁ Θεός, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

Καὶ ἄρχεται ὁ ἀρχιδιάκονος ἐν τῇ εἰσόδῳ.

Δόξα σοι, δόξα σοι, δόξα σοι, Χριστὲ βασιλεῦ, μονογενές, Λόγε τοῦ Πατρός, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου ἐν ἀπολαύσει γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Δόξα σοι.

Καὶ ὅταν ποιήσῃ τὴν εἴσοδον, ἄρχεται λέγειν ὁ διάκονος οὕτως·

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν καὶ δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ
(1) ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν θείων καὶ πανευφήμων ἀπο-

(1) For τοῦ ἁγίου Ἰωάννου...ἀποστόλων P. prints καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

ROTULUS MESSANENSIS.

Καὶ εὔχεται ὁ ἱερεύς.

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον
(1) εὐσπλαγχνίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν
(2) δούλων σου καὶ καταξιώσας ἡμᾶς ταύτης
(3) τῆς ἐπουρανίου σου τραπέζης, μὴ κατα-
(4) κρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ
(5) μεταλήψει τῶν ζωοποιῶν καὶ ἀχράντων σου
μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθέ,
(6) ἐν ἁγιασμῷ, ἵνα ἄξιοι γενόμενοι τοῦ πανα-
γίου σου Πνεύματος εὕρωμεν μερίδα καὶ
κλῆρον μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ'
(7) αἰῶνός σοι εὐαρεστησάντων,

Ὅτι ηὐλόγηται καὶ ἡγίασται καὶ δεδό-
(8) ξασται τὸ πάντιμον.

Εἰρήνη πᾶσιν.

(9) *Ὁ ἀρχιδιάκονος.* Τὰς κεφαλὰς ὑμῶν.

Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ἔφιδε
(10) ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας
(11) ἐκλίναμεν· ἔκτεινον τὴν χεῖρά σου τὴν
κραταιὰν καὶ πλήρη εὐλογιῶν, καὶ εὐλόγη-
σον τὸν λαόν σου καὶ διαφύλαξον τὴν κλη-
ρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξάζω-

(1) *ἡμῶν* interlined after *ἀσθενείᾳ*.
(2) *μετόχους γενέσθαι* interlined after *ταύτης*.
(3) *καὶ μυστικοῦ* interlined before *τραπέζης*.
(4) *καὶ ἀναξίους ἐρχομένους* in the margin before *ἐπί*.
(5) *ἐπουρανίων* added in the margin after *τῶν*.
(6) *αὐτοῦ* added in the margin after *ἁγιασμῷ*.
(7) Added in the margin *ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος.*
(8) *καὶ μεγαλοπρεπές, ἅγιον* in the margin.
(9) *καὶ κλίνων ὁ ἱερεὺς* in the margin.
(10) *ἑαυτῶν* interlined before *αὐχένας*.
(11) *ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων* added in the margin after *ἔκτεινον*.

CODEX ROSSANENSIS.

δικαίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ.

Καὶ τοῦ διακόνου ταῦτα λέγοντος ὁ ἱερεὺς ἐπεύχεται,

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον εὐσπλαγχνίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου καὶ καταξιώσας ἡμᾶς μετασχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς, Δέσποτα, τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ, ἵνα ἄξιοι γενόμενοι τοῦ παναγίου σου Πνεύματος εὕρωμεν μέρος καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ
εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ [161 b]
καὶ ζωοποιῷ σου Πνεύματι, νῦν.

Ἐκφώνως. Ὅτι ηὐλόγηται καὶ ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ἅγιον ὄνομά σου, τοῦ Πατρὸς καί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλάς.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν· καὶ ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιάν, τὴν πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου, καὶ διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξά-

PARIS MANUSCRIPT 2509.

στόλων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός. Σοί, Κύριε.

Ὁ ἱερεὺς εὔχεται·

S R S A Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν
P. 30 δούλων σου, καὶ καταξιώσας ἡμᾶς μετα-
(1) σχεῖν ταύτης τῆς ἐπουρανίου σου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ τοῦ ἁγίου σου Πνεύματος, ἵνα ἅγιοι γενόμενοι εὕρωμεν μέρος καὶ κληρονομίαν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι· ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

(2) *Ὁ ἱερεύς.*

Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν· ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιὰν καὶ πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου· διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξά-

PARIS MANUSCRIPT 476.

Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην ἡσύχως·

Ὁ Θεός, ὁ διὰ πολλὴν καὶ ἄφατον εὐσπλαγχνίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου, καὶ καταξιώσας ἡμᾶς μετασχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθέ, ἐν ἁγιασμῷ, ἵνα ἄξιοι γενόμενοι τοῦ παναγίου σου Πνεύματος εὕρωμεν μέρος καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνεῖ μεγαλοφώνως·

Ὅτι εὐλόγηται καὶ ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ δὲ ἱερεὺς τὴν εὐχὴν ταύτην.

Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς ἑαυτῶν αὐχένας ἐκλίναμεν· καὶ ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιάν, τὴν πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου· διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς

(1) P. om. σου. (2) See n. (2) above, p. 309.

ROTULUS MESSANENSIS.

μέν σε, τὸν μόνον ζῶντα καὶ ἀληθινὸν ἡμῶν
(1) *Θεόν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα·*

Ἐκφώνως. *Σοὶ γὰρ πρέπει καὶ ἐποφείλεται παρὰ πάντων ἡμῶν πᾶσα δοξολογία, τιμή, προσκύνησις καὶ εὐχαριστία, τῷ Πατρὶ καὶ τῷ Υἱῷ.*

(a) *Ὁ ἀρχιδιάκονος.* *Ἐν εἰρήνῃ Χριστοῦ πορευθῶμεν.*

Ὁ λαός. *Ἐν ὀνόματι Κυρίου. Κύριε, εὐλόγησον.*

Καὶ εὔχεται ὁ ἱερεύς, προσέχων τῷ λαῷ,

(2) *Ὁ εὐλογῶν.*

(1) *καὶ προσκυνητὴν* added in the margin before *Τριάδα.*

(a) Compare Chrysostom Hom. in eos qui Pascha jejunant I. p. 614: *Καὶ τῆς συνόδου ταύτης ἀπολύων ὑμᾶς (ὁ διάκονος), τοῦτο ὑμῖν ἐπεύχεται λέγων, Πορεύεσθε ἐν εἰρήνῃ.*

(2) *εὐλογῶν* is in a strange hand, and may be on an erasure.

(3) In the margin, in another hand. *ὁ λαός. ἐν ὀνόματι.*

CODEX ROSSANENSIS.

ζωμέν σε, τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα·

Ἐκφώνως. *Σοὶ γὰρ πρέπει καὶ ἐποφείλεται παρὰ πάντων ἡμῶν πᾶσα δοξολογία, τιμή, καὶ προσκύνησις καὶ εὐχαριστία, τῷ* [103]
Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Ὁ λαός. *Ἀμήν.*

Ὁ διάκονος. *Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.*

Πάλιν λέγει, *Ἐν εἰρήνῃ Χριστοῦ πορευ-* (a)
θῶμεν. (3)

Ὁ ἱερεὺς λέγει εὐχὴν ὀπισθάμβωνον τοῦ ἁγίου Ἰακώβου.

Εὐχαῖς καὶ πρεσβείαις τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου Ἰωάννου τοῦ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος· τῶν ἁγίων ἀποστόλων, ἐνδόξων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων· Χριστός, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, διὰ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων πάντας ἡμᾶς εὐλογήσει, ἐν εἰρήνῃ καὶ ἀγάπῃ ἁγιάσει καὶ διαφυλάξει καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίους ἀναδείξει, καὶ ἐλεήσει τὸν κόσμον αὐτοῦ, νῦν καὶ ἀεί, καὶ [102 b]
εἰς τούς.

Εὐχὴ ἄλλη ὀπισθάμβωνος.

Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ἡμᾶς τῆς σῆς δόξης κοινωνοὺς γενέσθαι διὰ τῆς τῶν ἁγίων σου μυστηρίων ζωοποιοῦ μεταλήψεως, δι' ὧν τοῦ θανάτου σου καὶ τῆς ἀναστάσεως τὸν

PARIS MANUSCRIPT 2509.

ζωμέν σε, τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας·

Ἐκφώνησις. Σοὶ γὰρ πρέπει καὶ ἐποφεί-
P. 40 λεται ἡ παρὰ πάντων ἡμῶν δοξολογία, τιμή, καὶ προσκύνησις καὶ εὐχαριστία, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.

Καὶ πάλιν λέγει,

(a) Ἐν εἰρήνῃ Χριστοῦ πορευθῶμεν.

Ὁ λαός. Ἐν ὀνόματι Κυρίου. Κύριε, εὐλόγησον.

PARIS MANUSCRIPT 476.

δοξάζωμέν σε, τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα·

Ἐκφώνησις. Σοὶ γὰρ πρέπει καὶ ἐποφείλεται ἡ παρὰ πάντων ἡμῶν πᾶσα δοξολογία, τιμή, προσκύνησις, καὶ εὐχαριστία, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος λέγει. Ἐν εἰρήνῃ καὶ ἀγάπῃ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πορευθῶμεν. (a)

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχὴν μεγαλοφώνως.

Ὁ θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον, τὴν λογικὴν καὶ ἀναίμακτον, δεχόμενος παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἀμνὸς τοῦ Θεοῦ καὶ Υἱός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ μόσχος ὁ ἄμωμος, ὁ μὴ δεξάμενος ἁμαρτίας ζυγὸν καὶ τυθεὶς δι' ἡμᾶς ἑκών, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ ἐσθιόμενος καὶ μὴ δαπανώμενος, τοὺς δὲ ἐσθίοντας ἁγιάζων· ὁ καὶ τῇ παρούσῃ ἡμέρᾳ καταξιώσας ἑορτάσαι τῶν φρικτῶν μυστηρίων τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου σου αἵματος, αὐτὸς ὡς ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος, τήρησον ἡμᾶς καὶ τοὺς δούλους σου τοὺς διακόνους καὶ πάντα τὸν λαόν σου, ἐν τῷ σῷ ἁγιασμῷ· τῷ βασιλεῖ ἡμῶν νίκας δώρησαι, τοὺς ἐν αἰχμαλωσίᾳ ὄντας ἀδελφοὺς ἡμῶν ἀνάῤῥυσαι, τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, τοὺς ἐν κινδύνοις θαλάσσης κυβέρνησαι, καὶ πᾶσι τοῖς δεομένοις τῆς σῆς βοηθείας ἐπάκουσον. Ὅτι σὺ εἶ ὁ δωτὴρ

ROTULUS MESSANENSIS.

Εἰς τὸ διακονικὸν λέγει ὁ ἀρχιδιάκονος,

(1) Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς.

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, τοὺς πάντας ἐλέησον καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίους ἀνάδειξον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν.

CODEX ROSSANENSIS.

τύπον τελεῖν παρέδωκας ἡμῖν· δι' αὐτῶν ἡμᾶς ἐν τῷ ἁγιασμῷ σου διαφύλαξον, μεμνημένους τῆς σῆς χάριτος διὰ παντὸς καὶ σοὶ ζῶντας τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι· τοῖς συλλειτουργήσασιν ἡμῖν καὶ τοῖς θείοις σου μυστηρίοις διακονήσασι βαθμὸν ἀγαθὸν περιποίησαι καὶ πολλὴν παῤῥησίαν τὴν ἐπὶ τοῦ φοβεροῦ σου βήματος· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου· σὺ
γὰρ εἶ ὁ ἀληθινὸς Θεὸς ἡμῶν καὶ ζωὴ αἰώ- [103]
νιος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Λέγει ὁ διάκονος,

Ἀπὸ δόξης εἰς δόξαν πορευόμενοι, σὲ ὑμνοῦμεν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Σὲ ὑμνοῦμεν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὁ ἱερεὺς λέγει εὐχὴν ἀπὸ τοῦ θυσιαστηρίου ἕως τοῦ διακονικοῦ.

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, τοὺς πάντας ἐλέησον καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξίους ἀνάδειξον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ πρέπει
δόξα, τιμή, κράτος, ἅμα τῷ παναγίῳ Πνεύ- [103 b]
ματι, νῦν.

(1) *εὐχὴ ὀπισθάμβωνος ἐν τῷ διακονικῷ* in the margin.

PARIS MANUSCRIPT 2509.

Εὐχὴ ἀπολυτική, λεγομένη παρὰ τοῦ διακόνου.

Ἀπὸ δόξης εἰς δόξαν πορευόμενοι, σὲ ὑμνοῦμεν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Σὲ ὑμνοῦμεν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὁ ἱερεὺς λέγει εὐχὴν ἀπὸ τοῦ θυσιαστηρίου μέχρι τοῦ σκευοφυλακίου.

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον τὴν ὁδὸν ἡμῶν, ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίωσον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί.

PARIS MANUSCRIPT 476.

τῶν ἀγαθῶν δωρημάτων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐχὴν ἐν τῷ σκευοφυλακίῳ μυστικήν.

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ ἀπὸ σοῦ καὶ εἰς σὲ καὶ πρὸς σὲ καταφεύγοντες, ὑπὸ σοῦ ἁγιαζόμεθα, Κύριε ὁ Θεὸς ἡμῶν· καὶ νῦν δεόμεθά σου, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον ἡμῶν τὴν ζωὴν ὡσαύτως καὶ τὴν ὁδὸν τῆς ἀναστάσεως τοῦ Κυρίου, ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, τοὺς πάντας ἐλέησον, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξίους ἀνάδειξον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ROTULUS MESSANENSIS.

Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Καὶ λέγουσιν οἱ διάκονοι, Κύριε, εὐλόγησον.

Καὶ εὔχεται ὁ ἱερεύς.

Ηὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιά-
(1) ζων καὶ διατηρῶν τὴν ζωὴν πάντων ἡμῶν, διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀθανάτων καὶ [ζωοποιῶν καὶ φρικ]τῶν αὐτοῦ μυστηρίων, ὁ ὢν [εὐλογητὸς εἰς τοὺς αἰῶνας] τῶν αἰώνων. Ἀμήν.

CODEX ROSSANENSIS.

Εὐχὴ ἄλλη. Σὺ εἶ ὁ ἄρτος τῆς ζωῆς καὶ ἡ πηγὴ τῆς ἀθανασίας καὶ δοτὴρ πάντων τῶν αἰωνίων ἀγαθῶν, Δέσποτα Χριστέ, ὁ Θεὸς ἡμῶν· ἐν σοὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν.

Ὁ διάκονος λέγει ἐν τῷ διακονικῷ,

Ἔτι καὶ ἔτι διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς λέγει εὐχὴν ἐν τῷ διακονικῷ μετὰ τὴν ἀπόλυσιν.

Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ· δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ Πνεύματός σου τοῦ ἀγαθοῦ, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει, καὶ ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ ἀπολύτρωσιν, καὶ εἰς τὰς αἰωνίους μελ- [104]
λούσας ἀπολαύσεις· σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς ἡμῶν, ὁ Θεός, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Ὁ διάκονος. Ἐν εἰρήνῃ Χριστοῦ διαφυλαχθῶμεν.

Ὁ ἱερεύς. Εὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων ἡμᾶς διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων αὐτοῦ μυστηρίων, νῦν καὶ ἀεί, καὶ εἰς τούς.

Εὐχὴ ἄλλη τελευταία.

Ὁ Κύριος εὐλογήσει καὶ ἁγιάσει καὶ

(1) καὶ διαφυλάττων καὶ σκέπων καὶ εἰρηνεύων (?) ἐν ἀγάπῃ added in the margin and interlined.

PARIS MANUSCRIPT 2509.

Ὁ διάκονος. Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ λεγομένη ἐν τῷ σκευοφυλακίῳ μετὰ τὴν ἀπόλυσιν.

P. 41 Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ Κυρίου δὲ ἡμῶν, Ἰησοῦ Χριστοῦ· δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ Πνεύματός σου τοῦ ἀγαθοῦ, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει. ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ ἀπολύτρωσιν, καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις· σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς ἡμῶν, ὁ Θεός, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος. Ἐν εἰρήνῃ Χριστοῦ διαφυλαχθῶμεν.

Ὁ ἱερεύς. Ηὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων διὰ τῆς μεταλήψεως
(1) τῶν ἁγίων καὶ ἀχράντων μυστηρίων, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

PARIS MANUSCRIPT 476.

Ὁ *ἱερεὺς τὸ* Εἰρήνη πᾶσιν *ἡσύχως ἐν ἑαυτῷ.*

Εὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ διαφυλάττων καὶ σκέπων καὶ φρουρῶν καὶ διατηρῶν ἐν εἰρήνῃ καὶ ἀγάπῃ τὴν ζωὴν πάντων ἡμῶν διὰ τῆς μεταλήψεως τῶν ἁγίων, ἀχράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων, ὧν μεταλαβεῖν ἠξιώθημεν, καὶ ἀναπαύσει πᾶσαν ψυχὴν χριστιανὴν προλαβοῦσαν μετὰ ἁγίων καὶ δικαίων, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογημένος εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) P. *τῶν ἁγίων καὶ ζωοποιῶν καὶ ἀχράντων.*

ROTULUS MESSANENSIS.

[The roll is ragged at the end. I have filled up the few gaps by words existing in the time of Monaldinius, partly supplemented from conjecture by Matrangas.]

CODEX ROSSANENSIS.

φυλάξει πάντας ἡμᾶς διὰ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

* * * *

